γάρ ἐστιν ὡς ὁ *ΑΒ* πρὸς τὸν *ΒΓ*, οὕτως ὅ τε ἀπὸ *ΑΒ* τετράγωνος πρὸς τὸν ὑπὸ *ΑΒΓ* περιεχόμενον ἀριθμὸν καὶ ὁ ὑπὸ *ΑΒΓ* πρὸς τὸν ἀπὸ *ΒΓ* τετράγωνον, ἔσται ἄρα καὶ ὡς ὁ ἀπὸ *ΑΒ* τετράγωνος πρὸς τὸν ὑπὸ *ΑΒΓ*, οὕτως ὁ ὑπὸ *ΑΒΓ* πρὸς τὸν ἀπὸ *ΒΓ* 5 τετράγωνον. ἐπεὶ οὖν τρεῖς ἀριθμοὶ ἀνάλογον ἔχουσιν, ἔσται ὁ ὑπὸ τῶν ἄκρων ἴσος τῷ ἀπὸ τοῦ μέσου τετραγώνῳ· ὁ ἄρα ἀπὸ τοῦ *ΑΒ* τετράγωνος ἐπὶ τὸν ἀπὸ τοῦ *ΒΓ* ἴσος ἔσται τῷ ὑπὸ τῶν *ΑΒΓ* ἐφ' ἑαυτόν. τοῦ ἄρα ἀπὸ *ΑΒ* ἐπὶ τὸν ἀπὸ *ΒΓ* τετράγωνον πλευρά 10 ἐστιν ὁ ὑπὸ τῶν *ΑΒΓ* περιεχόμενος ἀριθμός.

fol. 70r η. | Ἔστι δὲ καθολικὴ μέθοδος ὥστε τριῶν πλευρῶν δοθεισῶν οἱουδηποτοῦν τριγώνου τὸ ἐμβαδὸν εὑρεῖν χωρὶς καθέτου· οἷον ἔστωσαν αἱ τοῦ τριγώνου πλευραὶ μονάδων ζ, η, ϑ. σύνθες τὰ ζ καὶ τὰ η καὶ 15 τὰ ϑ· γίγνεται κδ. τούτων λαβὲ τὸ ἥμισυ· γίγνεται ιβ. ἄφελε τὰς ζ μονάδας· λοιπαὶ ε. πάλιν ἄφελε ἀπὸ τῶν ιβ τὰς η· λοιπαὶ δ. καὶ ἔτι τὰς ϑ· λοιπαὶ γ. ποίησον τὰ ιβ ἐπὶ τὰ ε· γίγνονται ξ. ταῦτα ἐπὶ τὸν δ· γίγνονται σμ· ταῦτα ἐπὶ τὸν γ· γίγνεται ψκ· 20 τούτων λαβὲ πλευρὰν καὶ ἔσται τὸ ἐμβαδὸν τοῦ τριγώνου. ἐπεὶ οὖν αἱ ψκ ῥητὴν τὴν πλευρὰν οὐκ ἔχουσι, ληψόμεθα μετὰ διαφόρου ἐλαχίστου τὴν πλευρὰν οὕτως· ἐπεὶ ὁ συνεγγίζων τῷ ψκ τετράγωνός ἐστιν ὁ ψκϑ καὶ πλευρὰν ἔχει τὸν κζ, μέρισον τὰς ψκ εἰς τὸν κζ· 25 γίγνεται κϛ καὶ τρίτα δύο· πρόσθες τὰς κζ· γίγνεται νγ τρίτα δύο. τούτων τὸ ἥμισυ· γίγνεται κϛ∟γ'. ἔσται ἄρα τοῦ ψκ ἡ πλευρὰ ἔγγιστα τὰ κϛ∟γ'. τὰ γὰρ κϛ∟γ' ἐφ' ἑαυτὰ γίγνεται ψκ λϛ'· ὥστε τὸ διάφορον μονάδος

5 τὸν ἀπὸ: correxit m. 2 7 ἴσος τὸ: corr. man. 2 9 τὸ ὑπὸ: corr. man. 2 11 ὑπὸ τὸν: correxi 20 τῶν δ: correxi τῶν γ:

da $AB : B\Gamma = AB^2 : AB\Gamma = AB\Gamma : B\Gamma^2$, so wird folglich auch $AB^2 : AB\Gamma = AB\Gamma : B\Gamma^2$ sein. Da nun 3 Zahlenwerte in einem Verhältnis stehen, so wird das Produkt der beiden äufseren gleich dem Quadrat der mittleren sein (Elem. VI 17). Also wird $AB^2 \times B\Gamma^2 = AB\Gamma^2$ sein; also $\sqrt{AB^2 \times B\Gamma^2} = AB\Gamma$.

VIII. Es giebt eine allgemeine Methode, um, wenn drei Seiten eines beliebigen Dreiecks gegeben sind, den Inhalt ohne die Höhe zu finden. Beispielsweise seien die Seiten des Dreiecks = 7, 8, 9.

$$7 + 8 + 9 = 24$$
$$\tfrac{24}{2} = 12$$
$$12 - 7 = 5$$
$$12 - 8 = 4$$
$$12 - 9 = 3$$
$$12 \times 5 = 60$$
$$60 \times 4 = 240$$
$$240 \times 3 = 720.$$

Daraus ziehe die Wurzel, und sie wird gleich dem Inhalt des Dreiecks sein. Da nun 720 eine rationale Wurzel nicht besitzt, so werden wir mit kleinster Differenz die Wurzel folgendermafsen ziehen. Da die 720 nächstkommende Quadratzahl 729 ist und die Wurzel 27 hat, so teile 720 durch 27; es ergiebt $26\tfrac{2}{3}$.

$$27 + 26\tfrac{2}{3} = 53\tfrac{2}{3}$$
$$\frac{53\tfrac{2}{3}}{2} = 26\tfrac{1}{2} + \tfrac{1}{3}.$$

---

correxi 22 sq. cf. P. Tannery Zeitschrift f. Math. u. Physik, hist. litt. Abt. 1894 pag. 13—15; M. Curtze ib. 1897 p. 113 sq.; Eutocius p. 270, 1 sq. Heib. 22 $\overline{\varrho\eta}$ τὴν: ῥητὴν τὴν m. 2(?) 28 ἔγγιστα τὰ: τὰ f. delendum 29 $\overset{o}{\mu}$ corr. ex $\overset{\omega}{\mu}$ man. 1

ἐστὶ μόριον λϚ΄. ἐὰν δὲ βουλώμεθα ἐν ἐλάσσονι μορίῳ τοῦ λϚ΄ τὴν διαφορὰν γίγνεσθαι, ἀντὶ τοῦ ψκθ τάξομεν τὰ νῦν εὑρεθέντα ψκ καὶ λϚ΄, καὶ ταὐτὰ ποιήσαντες εὑρήσομεν πολλῷ ἐλάττονα ⟨τοῦ⟩ λϚ΄ τὴν διαφορὰν γιγνομένην. 5

ἡ δὲ γεωμετρικὴ τούτου ἀπόδειξίς ἐστιν ἥδε· τριγώνου δοθεισῶν τῶν πλευρῶν εὑρεῖν τὸ ἐμβαδόν.




Fig. 7.

δυνατὸν μὲν οὖν ἐστιν ἀγαγόντα[ς] μίαν κάθετον καὶ πορισάμενον αὐτῆς τὸ μέγεθος εὑρεῖν τοῦ τριγώνου τὸ ἐμβαδόν, δέον δὲ ἔστω χωρὶς τῆς καθέτου τὸ ἐμβαδὸν 10 πορίσασθαι.

---

3 ταῦτα: correxit Curtze 4 ἔλαττον: corr. et suppl. Heiberg 7 cf. Dioptr. cap. XXX; Hultsch Zeitschrift f. Math. u. Physik 1864 p. 225—249; Heronis reliqu. p. 235 sq. 8 ἀγαγόντας: correxi

Es wird also die Wurzel aus 720 annähernd $= 26\frac{1}{2} + \frac{1}{3}$ sein. Denn $\left(26\frac{1}{2} + \frac{1}{3}\right)^2 = 720\frac{1}{36}$, sodafs die Differenz nur $\frac{1}{36}$ beträgt. Wenn wir aber wünschen, dafs die Differenz kleiner als $\frac{1}{36}$ wird, so werden wir anstatt 729 den ge-
5 fundenen Wert $720\frac{1}{36}$ einsetzen, und wenn wir dann wieder dasselbe thun, so werden wir finden, dafs die Differenz viel kleiner als $\frac{1}{36}$ wird. Der geometrische Beweis hierfür ist




Fig. 8.

folgender. Wenn die 3 Seiten eines Dreiecks gegeben sind, seinen Inhalt zu finden. Es ist nun möglich, wenn man
10 eine Höhe fällt und ihre Gröfse bestimmt, den Inhalt des Dreiecks zu finden. Die Aufgabe sei aber, den Inhalt ohne die Höhe zu bestimmen. Das gegebene Dreieck sei $AB\Gamma$, und es sei jede der Seiten AB, $B\Gamma$, ΓA gegeben. Zu

*ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ καὶ ἔστω ἑκάστη
τῶν ΑΒ, ΒΓ, ΓΑ δοθεῖσα· εὑρεῖν τὸ ἐμβαδόν. ἐγγε-
γράφθω εἰς τὸ τρίγωνον κύκλος ὁ ΔΕΖ, οὗ κέντρον
ἔστω τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΒΗ, ΓΗ, ΔΗ,
ΕΗ, ΖΗ. τὸ μὲν ἄρα ὑπὸ ΒΓ ΕΗ διπλάσιόν ἐστι* 5
*τοῦ ΒΗΓ τριγώνου, τὸ δὲ ὑπὸ ΓΑ ΖΗ τοῦ ΑΓΗ
τριγώνου, ⟨τὸ δὲ ὑπὸ ΑΒ ΔΗ τοῦ ΑΒΗ τριγώνου⟩·*
fol. 71r *τὸ ἄρα ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τρι¦γώνου καὶ
τῆς ΕΗ, τουτέστι τῆς ἐκ τοῦ κέντρου τοῦ ΔΕΖ
κύκλου, διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου. ἐκβεβλή-* 10
*σθω ἡ ΓΒ, καὶ τῇ ΑΔ ἴση κείσθω ἡ ΒΘ· ἡ ἄρα
ΓΒΘ ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου
διὰ τὸ ἴσην εἶναι τὴν μὲν ΑΔ τῇ ΑΖ, τὴν δὲ ΔΒ
τῇ ΒΕ, τὴν δὲ ΖΓ τῇ ΓΕ. τὸ ἄρα ὑπὸ τῶν ΓΘ
ΕΗ ἴσον ἐστὶ τῷ ΑΒΓ τριγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν* 15
*ΓΘ ΕΗ πλευρά ἐστιν τοῦ ἀπὸ τῆς ΓΘ ἐπὶ τὸ
ἀπὸ τῆς ΕΗ· ἔσται ἄρα τοῦ ΑΒΓ τριγώνου τὸ
ἐμβαδὸν ἐφ᾽ ἑαυτὸ γενόμενον ἴσον τῷ ἀπὸ τῆς ΘΓ
ἐπὶ τὸ ἀπὸ τῆς ΕΗ. ἤχθω τῇ μὲν ΓΗ πρὸς ὀρθὰς
ἡ ΗΛ, τῇ δὲ ΓΒ ἡ ΒΛ, καὶ ἐπεζεύχθω ἡ ΓΛ. ἐπεὶ* 20
*οὖν ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΓΗΛ, ΓΒΛ, ἐν
κύκλῳ ἄρα ἐστὶ τὸ ΓΗΒΛ τετράπλευρον· αἱ ἄρα
ὑπὸ ΓΗΒ, ΓΛΒ δυσὶν ὀρθαῖς εἰσιν ἴσαι. εἰσὶν δὲ καὶ
αἱ ὑπὸ ΓΗΒ, ΑΗΔ δυσὶν ὀρθαῖς ἴσαι διὰ τὸ δίχα
τετμῆσθαι τὰς πρὸς τῷ Η γωνίας τα⟨ῖ⟩ς ΑΗ, ΒΗ, ΓΗ* 25
*καὶ ἴσας εἶναι τὰς ὑπὸ τῶν ΓΗΒ, ΑΗΔ ταῖς ὑπὸ τῶν
ΑΗΓ, ΔΗΒ καὶ τὰς πάσας τέτρασιν ὀρθαῖς ἴσας
εἶναι· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΗΔ τῇ ὑπὸ ⟨Γ⟩ΛΒ.
ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΑΔΗ ὀρθῇ τῇ ὑπὸ ΓΒΛ*

---

7 suppl. m. 2 20 *ΒΛ*: *ΑΒ* suprascripsit m. 2 21 τῷ:

finden seinen Inhalt. Es werde (Elem. IV 4) in das Dreieck der Kreis $\varDelta EZ$ einbeschrieben, dessen Mittelpunkt H sein soll, und die Verbindungslinien AH, BH, $\varGamma H$, $\varDelta H$, EH, ZH gezogen. Es ist also:

55
$$B\varGamma \times EH = 2\,BH\varGamma$$
$$\varGamma A \times ZH = 2\,A\varGamma H$$
$$AB \times \varDelta H = 2\,ABH$$

Also ist das Produkt aus dem Umfang des Dreiecks $AB\varGamma$ und EH, d. h. dem Radius des Kreises $\varDelta EZ$, doppelt so 100 grofs als das Dreieck $AB\varGamma$. Nun werde $\varGamma B$ verlängert, und es werde $B\Theta = A\varDelta$ gemacht. Dann ist $\varGamma B\Theta$ gleich dem halben Umfang des Dreiecks $AB\varGamma$, weil $A\varDelta = AZ$, $\varDelta B = BE$ und $Z\varGamma = \varGamma E$. Also ist

$$\varGamma\Theta \times EH = AB\varGamma.$$

155 Nun ist aber

$$\varGamma\Theta \times EH = \sqrt{\varGamma\Theta^2 \times EH^2}.$$

Also wird $AB\varGamma^2 = \Theta\varGamma^2 \times EH^2$ sein.

Nun soll zu $\varGamma H$ rechtwinklig $H\varLambda$ und zu $\varGamma B$ rechtwinklig $B\varLambda$ gezogen und die Verbindungslinie $\varGamma\varLambda$ ge- 200 zogen werden. Da nun jeder der beiden Winkel $\varGamma H\varLambda$ und $\varGamma B\varLambda$ ein rechter ist, so ist $\varGamma HB\varLambda$ ein Kreisviereck. Folglich ist

$$\varGamma HB + \varGamma\varLambda B = 2\,R.$$

Es ist aber auch $\varGamma HB + AH\varDelta = 2\,R$, weil die Winkel 225 bei H durch die Geraden AH, BH, $\varGamma H$ halbiert sind und die Summe der Winkel $\varGamma HB$ und $AH\varDelta$ gleich ist der Summe der Winkel $AH\varGamma$ und $\varDelta HB$ und sie alle zusammen gleich 4 Rechten sind. Also ist $AH\varDelta = \varGamma\varLambda B$. Es ist aber auch der rechte Winkel $A\varDelta H$ gleich dem 300 rechten Winkel $\varGamma B\varLambda$. Also ist das Dreieck $AH\varDelta$ dem Dreieck $\varGamma B\varLambda$ ähnlich. Folglich ist

$$B\varGamma : B\varLambda = A\varDelta : \varDelta H = B\Theta : EH$$

---

corr. m. 2 τάς: ταῖς m. 2 26 $\varGamma HB$ ἢ $H\varDelta$: corr. m. 2
τὰς ὑπὸ: corr. m. 2 27 ὀρθάς: correxi 28 ⟨$\varGamma$⟩ add. m. 2

ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ *ΑΗΔ* τρίγωνον τῷ *ΓΒΛ* τριγώνῳ. ὡς ἄρα ἡ *ΒΓ* πρὸς *ΒΛ*, ἡ *ΑΔ* πρὸς *ΔΗ*, τουτέστιν ἡ *ΒΘ* πρὸς *ΕΗ*, καὶ ἐναλλάξ, ὡς ἡ *ΓΒ* πρὸς *ΒΘ*, ἡ *ΒΛ* πρὸς *ΕΗ*, τουτέστιν ἡ *ΒΚ* πρὸς *ΚΕ* διὰ τὸ παράλληλον εἶναι τὴν *ΒΛ* τῇ *ΕΗ*, καὶ 5 συνθέντι, ὡς ἡ *ΓΘ* πρὸς *ΒΘ*, οὕτως ἡ *ΒΕ* πρὸς *ΕΚ*· ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς *ΓΘ* πρὸς τὸ ὑπὸ τῶν *ΓΘ*⟨*ΘΒ*⟩, οὕτως τὸ ὑπὸ *ΒΕΓ* πρὸς τὸ ὑπὸ *ΓΕΚ*, τουτέστι πρὸς τὸ ἀπὸ *ΕΗ*· ἐν ὀρθογωνίῳ γὰρ ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ *ΕΗ*· ὥστε τὸ ἀπὸ τῆς 10 *ΓΘ* ἐπὶ τὸ ἀπὸ τῆς *ΕΗ*, ⟨οὗ⟩ πλευρὰ ἦν τὸ ἐμβαδὸν τοῦ *ΑΒΓ* τριγώνου, ἴσον ἔσται τῷ ὑπὸ *ΓΘΒ* ἐπὶ τὸ ὑπὸ *ΓΕΒ*. καὶ ἔστι δοθεῖσα ἑκάστη τῶν *ΓΘ*, *ΘΒ*, *ΒΕ*, *ΓΕ*· ἡ μὲν γὰρ *ΓΘ* ἡμίσειά ἐστι τῆς περιμέτρου τοῦ *ΑΒΓ* τριγώνου, ἡ δὲ *ΒΘ* ἡ ὑπεροχή, ᾗ ὑπερέχει ἡ 15 ἡμίσεια τῆς περιμέτρου τῆς *ΓΒ*, ἡ δὲ *ΒΕ* ἡ ὑπερ-fol. 71ʳ οχή, | ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς *ΑΓ*, ἡ δὲ *ΕΓ* ⟨ἡ⟩ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς *ΑΒ*, ἐπειδήπερ ἴση ἐστὶν ἡ μὲν *ΕΓ* τῇ *ΓΖ*, ἡ δὲ *ΒΘ* τῇ *ΑΖ*, ἐπεὶ καὶ τῇ *ΑΔ* ἐστὶν ἴση. 20 δοθὲν ἄρα καὶ τὸ ἐμβαδὸν τοῦ *ΑΒ*⟨*Γ*⟩ τριγώνου. συντεθήσεται δὴ οὕτως· ἔστω ἡ μὲν *ΑΒ* μονάδων ⟨ιγ⟩, ἡ δὲ *ΒΓ* μονάδων ιδ, ἡ δὲ *ΑΓ* μονάδων ιε. σύνθες τὰ ιγ καὶ ιδ καὶ ιε· καὶ γίγνεται μβ. ὧν ἥμισυ· γίγνεται κα. ὕφελε τὰς ιγ· λοιπαὶ η· εἶτα τὰς ιδ· 25 λοιπαὶ ζ· καὶ ἔτι τὰς ιε· λοιπαὶ ς. τὰ κα ἐπὶ τὰ η, καὶ τὰ γενόμενα ἐπὶ τὸν ζ, καὶ ἔτι τὰ γενόμενα ἐπὶ τὸν ς· συνάγονται ͵ζνς· τούτων πλευρὰ ⟨πδ.⟩ τοσούτου ἔσται τοῦ τριγώνου τὸ ἐμβαδόν.

---

7 ⟨*ΘΒ*⟩ suppl. m. 2(?) 10 *ΕΗ*: immo *ΗΕ* 11 οὗ ante πλευρὰν add. m. 2 12 τὸ ὑπὸ: corr. m. 2 18 ⟨ἡ⟩

und umgekehrt:

$$\Gamma B : B\Theta = B\Delta : EH = BK : KE,$$

weil $B\Delta$ zu EH parallel ist, und

$$\Gamma\Theta : B\Theta = BE : EK;$$

55 so daſs auch

$$\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B = BE \times \langle \Gamma E \rangle : \Gamma E \times EK$$
$$= BE \times \langle \Gamma E \rangle : EH^2$$

Denn im rechtwinkligen Dreieck ist vom rechten Winkel auf die Hypotenuse die Höhe EH gefällt. Daher wird
100 $\Gamma\Theta^2 \times EH^2$, woraus die Wurzel gleich dem Inhalt des Dreiecks $AB\Gamma$ war, gleich $\Gamma\Theta \times \Theta B \times \Gamma E \times EB$ sein. Nun ist gegeben jede der Linien $\Gamma\Theta$, ΘB, BE, ΓE. Denn $\Gamma\Theta$ ist die Hälfte des Umfangs des Dreiecks $AB\Gamma$; $B\Theta$ aber ist die Strecke, um die die Hälfte des Umfangs gröſser
155 ist als ΓB; BE aber die Strecke, um die die Hälfte des Umfangs gröſser ist als $A\Gamma$; $E\Gamma$ aber die Strecke, um die die Hälfte des Umfangs grösser ist als AB, da ja

$$E\Gamma = \Gamma Z,\ B\Theta = AZ,$$

weil es auch $= A\Delta$ ist. Folglich ist der Inhalt des Drei-
200 ecks $AB\Gamma$ gegeben. Er wird folgendermaſsen berechnet. Es sei $AB = 13$, $B\Gamma = 14$, $A\Gamma = 15$.

$$13 + 14 + 15 = 42$$
$$\tfrac{42}{2} = 21$$
$$21 - 13 = 8$$

285 dann

$$21 - 14 = 7$$
$$21 - 15 = 6$$
$$21 \times 8 \times 7 \times 6 = 7056.$$

Hieraus die Wurzel ist gleich 84. So groſs wird der In-
360 halt des Dreiecks sein.

---

addidi 21 ⟨Γ⟩ add. m. 2 22 ⟨ιγ⟩ add. m. 2 26 ιε λοιπαὶ ζ∟: corr. m. 2 28 lacuna 10 litterarum; supplevi

fol. 72r θ. | Ἐπεὶ οὖν ἐμάθομεν τριγώνου τῶν πλευρῶν δοθεισῶν εὑρεῖν τὸ ἐμβαδὸν ῥητῆς οὔσης ⟨τῆς⟩ καθέτου, ἔστω μὴ ῥητῆς ὑπαρχούσης τῆς καθέτου τὸ ἐμβαδὸν εὑρεῖν. ἔστω γὰρ τρίγωνον τὸ *ΑΒΓ* ἔχον τὴν μὲν *ΑΒ* μονάδων η, τὴν δὲ *ΒΓ* μονάδων ι, τὴν δὲ *ΑΓ* μονάδων ιβ· καὶ ἤχθω κάθετος ἡ *ΑΔ*. ἀκολούθως δὴ τοῖς ἐπὶ τοῦ ὀξυγωνίου εἰρημένοις ἔσται τὸ δὶς ὑπὸ *ΓΒΔ* μονάδων κ· ἡ ἄρα *ΒΔ* ἔσται μονάδος α, καὶ τὸ ἀπ' αὐτῆς ἄρα μονάδος α. ἀλλὰ καὶ τὸ ἀπὸ τῆς *ΑΒ* μονάδων ξδ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς *ΑΔ* ἔσται μονάδων ξγ. ἀλλὰ καὶ τὸ ἀπὸ *ΒΓ* μονάδων ρ· τὸ ἄρα ἀπὸ *ΒΓ* ἐπὶ τὸ ἀπὸ *ΑΔ* ἔσται μονάδων ͵ϛτ. τούτου δὲ πλευρά ἐστιν ὁ ὑπὸ *ΒΓ ΑΔ* [ἐφ' ἑαυτόν]· ὁ ὑπὸ τῶν *ΒΓ ΑΔ* ἄρα ἐφ' ἑαυτὸν ἔσται μονάδων ͵ϛτ. τὸ ἄρα ἥμισυ τοῦ ὑπὸ *ΒΓ ΑΔ* ἐφ' ἑαυτὸ μονάδων ͵αφοε· ὧν γὰρ τετραγώνων αἱ πλευραὶ διπλασίονες ἀλλήλων εἰσίν, τὰ ἀπ' αὐτῶν τετραπλάσιά ἐστιν τῶν ἀπὸ τῶν ἡμίσεων. τὸ δὲ ἥμισυ τοῦ ὑπὸ τῶν *ΒΓ ΑΔ* τὸ ἐμβαδόν ἐστι τοῦ τριγώνου· ἔστιν ἄρα τὸ τοῦ τριγώνου ἐμβαδὸν δυνάμει ͵αφοε. ἔξεστι δὲ τῶν ξγ τὴν πλευρὰν σύνεγγυς λαβόντα εὑρεῖν τὸ ἐμβαδὸν ὡς ῥητῆς οὔσης τῆς καθέ-




Fig. 9.

2 ⟨τῆς⟩ addidi 18—19 [ἐφ' ἑαυτόν]: delevit man. 2
25 ἥμισυ: in ἡμίσεος mutavit et ⟨πλευρᾶ⟩ add. m. 2 perperam
28 λαβόντα ex λαβεῖν τα fec. m. 1

IX. Nachdem wir nun gelernt haben, wenn die Seiten eines Dreiecks gegeben sind, den Inhalt zu finden, falls die Höhe rational ist, sei jetzt die Aufgabe, falls die Höhe nicht rational ist, den Inhalt zu finden. Es sei nämlich $AB\Gamma$ das Dreieck, in dem




Fig. 10.

$$AB = 8,$$
$$B\Gamma = 10,$$
$$A\Gamma = 12,$$

und es werde die Höhe $A\Delta$ gezogen.[3]) Entsprechend nun dem beim spitzwinkligen Dreieck Bemerkten wird $2\,\Gamma B \times B\Delta = 20$ sein, folglich $B\Delta = 1$ und auch $B\Delta^2 = 1$. Es ist aber $AB^2 = 64$; folglich wird $A\Delta^2 = 63$ sein. Es ist aber auch $B\Gamma^2 = 100$; also $B\Gamma^2 \times A\Delta^2 = 6300$. Also ist

$$\sqrt{6300} = (B\Gamma \times A\Delta)$$
$$(B\Gamma \times A\Delta)^2 = 6300$$
$$\left(\frac{B\Gamma \times A\Delta}{2}\right)^2 = 1575;$$

denn von den Quadratzahlen, von deren Wurzeln die eine doppelt so grofs ist als die andere, verhält sich die gröfsere zur kleineren wie 4 : 1. Die Hälfte aber von $B\Gamma \times A\Delta$ ist gleich dem Inhalt des Dreiecks. Es ist also der Inhalt des Dreiecks im Quadrat $= 1575$. Es ist aber möglich, wenn man die Wurzel von 63 annähernd bestimmt, den Inhalt zu finden, als wäre die Höhe rational. Nun ist die Wurzel von 63 annähernd $7\frac{1}{2} + \frac{1}{4}$

3) In Fig. 9 müfste $A\Delta$ auf $B\Gamma$ senkrecht stehen.

του. τῶν δὲ ξγ σύνεγγύς ἐστιν ἡ πλευρὰ ζ∟δ′ η′ ιϛ′. δεήσει οὖν τοσούτου ὑποστησάμενον τὴν κάθετον τὸ ἐμβαδὸν εὑρεῖν· ἔστι δὲ λθ∟η′ ιϛ′.

ι. Ἔστω τραπέζιον ὀρθογώνιον τὸ *ΑΒΓΔ* ὀρθὰς (fol. 72ʳ) ἔχον τὰς πρὸς τοῖς *Α*, *Β* γωνίας, καὶ ἔστω ἡ | μὲν *ΑΔ* μονάδων ϛ, ἡ δὲ *ΒΓ* ια, ἡ δὲ *ΑΒ* μονάδων ιβ· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδὸν καὶ ἔτι τὴν *ΓΔ*. τετμήσθω δίχα ἡ *ΓΔ* κατὰ τὸ *Ε*, καὶ τῇ *ΑΒ* παράλληλος ἤχθω διὰ τοῦ *Ε* ἡ *ΖΕΗ*, καὶ ἐκβεβλήσθω ἡ *ΑΔ* ἐπὶ τὸ *Ζ*. ἐπεὶ ἴση ἐστὶν ἡ *ΔΕ* τῇ *ΕΓ*, ἴση ἄρα καὶ ἡ *ΔΖ* τῇ *ΗΓ*. 110 κοιναὶ προσκείσθωσαν αἱ *ΑΔ ΒΗ*· συναμφότερος ἄρα ἡ *ΑΖ ΒΗ* συναμφοτέρῳ τῇ *ΑΔ ΒΓ* ἴση ἐστίν. δοθεῖσα δέ ἐστιν συναμφότερος ἡ *ΑΔ ΒΓ*, ἐπεὶ καὶ ἑκατέρα αὐτῶν· δοθεῖσα ἄρα καὶ συναμφότερος ἡ *ΑΖ ΒΗ*, τουτέστι δύο αἱ *ΒΗ*· καὶ ἡ *ΒΗ* ἄρα ἐστὶ δοθεῖσα. ἀλλὰ καὶ ἡ *ΑΒ*· δοθὲν ἄρα τὸ *ΑΒΖΗ* παραλληλόγραμμον. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ *ΔΕΖ* τρίγωνον τῷ *ΕΗΓ*, κοινὸν προσκείσθω τὸ *ΑΒΗΕΔ* πεντάπλευρον· ὅλον ἄρα τὸ *ΑΒΖΗ* παραλληλόγραμμον ὅλῳ τῷ *ΑΒΓΔ* τραπεζίῳ ἴσον ἐστί. δοθὲν δὲ ἐδείχθη τὸ *ΑΒΖΗ* παραλληλόγραμμον· δοθὲν ἄρα καὶ τὸ *ΑΒΓΔ* τραπέζιον. ἡ δὲ *ΓΔ* εὑρεθήσεται οὕτως· ἤχθω κάθετος

Fig. 11.

$+ \frac{1}{8} + \frac{1}{16}$. Es wird nun nötig sein, die Höhe so grofs anzusetzen und dann den Inhalt zu finden. Er beträgt $39\frac{1}{2} + \frac{1}{8} + \frac{1}{16}$.

X. Es sei $AB\Gamma\Delta$ ein rechtwinkliges Trapez, in dem
5 die Winkel bei A und bei B rechte sind; und es sei $A\Delta = 6$, $B\Gamma = 11$, $AB = 12$. Zu finden seinen Inhalt und aufserdem $\Gamma\Delta$. Es werde $\Gamma\Delta$ halbiert in E,[4]) und zu AB werde durch E die Parallele ZEH gezogen und $A\Delta$ bis Z verlängert. Da $\Delta E = E\Gamma$, so ist auch $\Delta Z = H\Gamma$.
10 Auf beiden Seiten werde hinzugefügt $A\Delta + BH$. Folglich sind $AZ + BH = A\Delta + B\Gamma$. Es ist aber $A\Delta + B\Gamma$ gegeben, da jede der beiden Linien gegeben ist. Also ist auch $AZ + BH = 2BH$ gegeben; also ist auch BH gegeben; aber auch AB; mithin ist das Parallelogramm
15 $ABZH$ gegeben. Und da Dreieck ΔEZ = Dreieck $EH\Gamma$ ist, so werde auf beiden Seiten das Fünfeck $ABHE\Delta$ zugefügt. Also ist das ganze Parallelogramm $ABZH$ = dem ganzen Trapez $AB\Gamma\Delta$. Das Parallelogramm $ABZH$ aber ward als gegeben nachgewiesen. Gegeben ist also
20 auch das Trapez $AB\Gamma\Delta$. $\Gamma\Delta$ dagegen wird auf folgende Weise gefunden werden. Es werde die Höhe $\Delta\Theta$ gezogen. Da nun $A\Delta$ gegeben ist, so ist also auch $B\Theta$ gegeben, aber auch $B\Gamma$: folglich ist nun auch $\Gamma\Theta$ gegeben; aber auch $\Delta\Theta$, da dies $= AB$ ist, und der Winkel bei Θ ist ein
25 rechter; also ist auch $\Gamma\Delta$ gegeben. Berechnet wird es der Analyse entsprechend in folgender Weise:

$$6 + 11 = 17$$
$$\frac{17}{2} = 8\frac{1}{2}$$
$$8\frac{1}{2} \times 12 = 102.$$

30 So grofs wird der Inhalt sein. Dagegen $\Delta\Gamma$ wird folgendermafsen bestimmt.

4) In Fig. 11 ist dies nicht der Fall.

8 E m. 2 in ras. 9 ZEK: corr. m. 2 20—21 συναμφότορος: corr. m. 2

ἡ $\varDelta\Theta$. ἐπεὶ οὖν δοθεῖσά ἐστιν ἡ $A\varDelta$, δοθεῖσα ἄρα καὶ ἡ $B\Theta$. ἀλλὰ καὶ ἡ $B\Gamma$· καὶ λοιπὴ ἄρα ἡ $\Gamma\Theta$ δοθεῖσά ἐστιν. ἀλλὰ καὶ ἡ $\varDelta\Theta$· ἴση γάρ ἐστι τῇ AB· καὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Θ γωνία· δοθεῖσα ἄρα καὶ ἡ $\Gamma\varDelta$. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· 5 σύνθες τὰ ϛ καὶ τὰ ια· γίγνεται ιζ. τούτων τὸ ἥμισυ· γίγνεται η∟. ταῦτα ἐπὶ τὰ ιβ· γίγνεται ρβ· τοσούτου ἄρα τὸ ἐμβαδόν. ἡ δὲ $\varDelta\Gamma$ οὕτως· ὕφελε ἀπὸ τῶν ια τὰ ϛ· καὶ γίγνεται λοιπὰ ε. ταῦτα ἐφ' ἑαυτά· γίγνεται κε· καὶ τὰ ιβ ἐφ' ἑαυτά· γίγνεται ρμδ. πρόσθες τὰ κε· 10 γίγνεται ρξθ. τούτων πλευρὰ γίγνεται ⟨ιγ·⟩ τοσούτων ἔσται ἡ $\varDelta\Gamma$.

fol. 73r ια. | Ἔστω τραπέζιον ἰσοσκελὲς τὸ $AB\Gamma\varDelta$ ἴσην ἔχον τὴν AB τῇ $\Gamma\varDelta$, καὶ ἑκατέρα αὐτῶν ἔστω μονάδων ιγ, ἡ δὲ $A\varDelta$ 15 μονάδων ϛ, ἡ δὲ $B\Gamma$ μονάδων ιϛ· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδὸν καὶ τὴν κάθετον. ἤχθω τῇ $\Gamma\varDelta$ παράλληλος ἡ 20 AE, καὶ κάθετος ἤχθω ἐπὶ τὴν $B\Gamma$ ἡ AZ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ $AE\Gamma\varDelta$. ἴση




Fig. 12.

ἄρα ἐστὶν ἡ μὲν $A\varDelta$ τῇ $E\Gamma$, ἡ δὲ $\Gamma\varDelta$ τῇ AE· 25 ὥστε ἔσται ἡ μὲν AE μονάδων ιγ, ἡ δὲ $E\Gamma$ μονάδων ϛ· λοιπὴ ἄρα ἡ BE μονάδων ι. ἐπεὶ οὖν ἰσοσκελές ἐστι τὸ ABE τρίγωνον ἔχον ἑκάστην πλευρὰν δοθεῖσαν, ἔσται ἄρα καὶ ἡ AZ κάθετος δοθεῖσα· καὶ ἔσται μονάδων ιβ, ὡς προδέδεικται. τετμήσθωσαν δὴ δίχα αἱ 30 AB, $\Gamma\varDelta$ τοῖς H, Θ, καὶ κάθετοι ἐπὶ τὴν $B\Gamma$ ⟨ἤχθωσαν⟩

$$11 - 6 = 5$$
$$5^2 = 25$$
$$12^2 = 144$$
$$144 + 25 = 169$$
$$\sqrt{169} = 13.$$

So grofs wird $\Delta\Gamma$ sein.

XI. Es sei $AB\Gamma\Delta$ ein gleichschenkliges Trapez, in dem $AB = \Gamma\Delta = 13$, $A\Delta = 6$, $B\Gamma = 16$. Zu finden seinen Inhalt und seine Höhe. Es werde zu $\Gamma\Delta$ die Parallele AE gezogen und auf $B\Gamma$ die Höhe AZ gefällt. Folglich ist $AE\Gamma\Delta$ ein Parallelogramm. Also ist $A\Delta = E\Gamma$ und $\Gamma\Delta = AE$, sodafs $AE = 13$, $E\Gamma = 6$ sein wird. Also ist $BE = 10$. Da nun das Dreieck ABE gleichschenklig ist und Seiten von gegebener Gröfse hat, so wird auch die Höhe AZ gegeben sein. Sie wird, wie vorher gezeigt ist, $= 12$ sein. Nun sollen AB und ΓA in H und Θ halbiert werden und auf $B\Gamma$ die Höhen $KH\Lambda$ und $M\Theta N$ gefällt werden. Dann ist Dreieck $AKH = BH\Lambda$ und $\Delta M\Theta = \Gamma N\Theta$, sodafs, wenn auf beiden Seiten das Sechseck $AH\Lambda N\Theta\Delta$ hinzugefügt wird, das Parallelogramm $K\Lambda MN$ gleich dem Trapez $AB\Gamma\Delta$ sein wird.




Fig. 13.

5 $\Gamma\Delta$ corr. ex ΓE m. 1(?) 10 $\overline{\varkappa\varepsilon}$: ε renov. m. 1 11 ρκθ: corr. man. 2 ⟨ιγ⟩ add. man. 2 11—12 τοσοῦτον: corr. m. 2 ἔστω: correxi 12 τὸ ἐμβαδὸν: delevit et in mg. ἡ δγ adscripsit man. 2 31 $\Gamma\Lambda$: correxi ⟨ἤχθωσαν⟩ addidi

αἱ ΚΗΛ, ΜΘΝ. ἴσον ἄρα ἐστὶ τὸ μὲν ΑΚΗ τρίγωνον τῷ ΒΗΛ, τὸ δὲ ΔΜΘ τῷ ΓΝΘ· ὥστε κοινοῦ προστεθέντος τοῦ ΑΗΛΝΘΔ ἑξαπλεύρου ἴσον ἔσται τὸ ΚΛΜΝ παραλληλόγραμμον τῷ ΑΒΓΔ τραπεζίῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΑΚ τῇ ΒΛ, ἡ δὲ ΔΜ τῇ ΓΝ, 5 αἱ ἄρα ΑΚ ΔΜ ἴσαι εἰσὶν ταῖς ΒΛ ΝΓ. κοινῶν προστεθεισῶν τῶν ΑΔ ΛΝ ἔσται συναμφότερος ἡ ΚΜΛΝ, τουτέστι δύο αἱ ΚΜ, συναμφοτέρῳ τῇ ΑΔ ΒΓ ἴση. καὶ ἔστι δοθεῖσα συναμφότερος ἡ ΑΔ ΒΓ· ἔστι γὰρ μονάδων κβ· ἔσονται ἄρα καὶ αἱ δύο αἱ ΚΜ μονάδων κβ· ⟨αὐτὴ 10 ἄρα ἡ ΚΜ⟩ μονάδων ια. ἀλλὰ καὶ ἡ ΚΛ μονάδων ιβ· ἴση γάρ ἐστι τῇ Α⟨Ζ· τὸ ἄρα ΚΛΝΜ⟩ παραλληλόγραμμον ἔσται μονάδων ρλβ. καὶ ἔστιν ἴσον τῷ ΑΒΓΔ τραπεζίῳ· ἔσται ἄρα καὶ τὸ ΑΒΓΔ τραπέζιον μονάδων ρλβ. ⟨συντε⟩θήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· 15 ἄφελε ἀπὸ τῶν ιϛ τὰς ϛ· γίγνονται λοιπαὶ ι. τούτων τὸ ἥμισυ ε. καὶ ταῦτα ἐφ᾽ ἑαυτά· γίγνονται κε· καὶ τὰ ιγ ἐφ᾽ ἑαυτά· γίγνονται ρξθ. ἄφελε τὰ κε· λοιπὰ ρμδ. τούτων πλευρὰ γίγνεται ⟨ιβ·⟩ ἔσται ἡ κάθετος μονάδων ιβ. τὸ δὲ ἐμβαδὸν οὕτως· σύνθες τὰ ιϛ καὶ 20 (fol. 73v) τὰ ϛ· γί|νονται κβ· ὧν ἥμισυ· γίγνονται ια· ⟨ταῦτα⟩ ἐπὶ τὴν κάθετον· γίγνεται ρλβ· τοσούτων ἔσται τὸ ἐμβαδόν.

ιβ. Ἔστω τραπέζιον ὀξυγώνιον τὸ ΑΒΓΔ ὀξεῖαν ἔχον τὴν πρὸς τῷ Β γωνίαν, καὶ ἔστω ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΓΔ μονάδων κ, ἡ δὲ ΑΔ μονάδων 25 ϛ, ἡ δὲ ΒΓ μονάδων κζ· εὑρεῖν αὐτοῦ τὴν κάθετον καὶ τὸ ἐμβαδόν. ἤχθω τῇ ΓΔ παράλληλος ἡ ΑΕ καὶ κάθετος ἡ ΑΖ. ἡ μὲν ἄρα ΑΕ ἔσται μονάδων κ· ἡ

---

2 ΓΗΘ: correxi 3 προστιθέντος: correxi 7 ΚΜΛΗ: correxi 10 sq. spatium 8 litterarum; supplevi 12 lacuna 9 litterarum; supplevi 21 ⟨ταῦτα⟩ m. 2.

Und da $AK = B\Lambda$ und $\Delta M = \Gamma N$, so ist $AK + \Delta M = B\Lambda + N\Gamma$. Wird auf beiden Seiten $A\Delta + \Lambda N$ zugesetzt, so wird $KM + \Lambda N = 2KM = A\Delta + B\Gamma$ sein. Und $A\Delta + B\Gamma$ ist gegeben; es ist nämlich $= 22$; 5 daher wird auch $2KM = 22$, also $KM = 11$ sein. Aber auch $K\Lambda = 12$, denn es ist $= AZ$. Also wird das Parallelogramm $K\Lambda NM = 132$ sein. Und dies ist gleich dem Trapez $AB\Gamma\Delta$. Also wird auch das Trapez $AB\Gamma\Delta = 132$ sein. Berechnet wird es, der Analyse ent- 10 sprechend, folgendermaſsen:

$$16 - 6 = 10$$
$$\tfrac{10}{2} = 5$$
$$5^2 = 25$$
$$13^2 = 169$$
15
$$169 - 25 = 144$$
$$\sqrt{144} = 12.$$

Die Höhe wird $= 12$ sein. Den Inhalt findet man folgendermaſsen:

$$16 + 6 = 22$$
20
$$\tfrac{22}{2} = 11$$
$$11 \times 12 = 132.$$

So groſs wird der Inhalt sein.

XII. Es sei $AB\Gamma\Delta$ ein spitzwinkeliges Trapez, das bei B einen spitzen Winkel hat, und es sei $AB = 13$, $\Gamma\Delta$ 25 $= 20$, $A\Delta = 6$, $B\Gamma = 27$. Zu finden seine Höhe und den Inhalt. Es werde zu $\Gamma\Delta$ die Parallele AE gezogen und die Höhe AZ gefällt. Also wird $AE = 20$, $\Gamma E = 6$

15 lacuna 5 litterarum; supplevit man. 2. 19 lacuna 2 litterarum; supplevi 22 ante ἐπὶ inseruit ταῦτα man. 2.

δὲ ΓΕ μονάδων ς· λοιπὴ ἄρα ἡ ΒΕ μονάδων κα· ὥστε διὰ τὸ ⟨τὸ⟩ ΑΒΕ ὀξυγώνιον τρίγωνον ⟨εἶναι⟩ ἔσται ἡ ΑΖ κάθετος μονάδων ιβ. δίχα δὴ τμηθεισῶν τῶν ΑΒ ΓΔ τοῖς Η, Θ καὶ καθέτων ἀχθεισῶν τῶν ΚΗΛ ΜΘΝ ὁμοίως τῷ ἐπάνω δείξομεν, ὅτι τὸ μὲν 5 ΑΒΓ ⟨Δ⟩ τραπέζιον ἴσον ἐστὶ τῷ ΚΛΜΝ παραλληλογράμμῳ, συναμφότερος δὲ ἡ ΒΓ ΑΔ διπλῆ ἐστι τῆς ΚΜ· καὶ ἔσται ἡ ΚΜ μονάδων ιςL· ἔστι δὲ καὶ ἡ ΚΛ μονάδων ιβ, ἐπεὶ καὶ ἡ 10 ΑΖ· τὸ ἄρα ἐμβαδὸν τοῦ τραπεζίου ἔσται μονάδων ρϙη. συντεθήσεται δὲ ἀκολούθως 15 τῇ ἀναλύσει οὕτως· ἄφελε ἀπὸ




Fig. 14.

τῶν κζ τὰ ς· λοιπὰ γίγνεται κα. καὶ τριγώνου ὀξυγωνίου τῶν πλευρῶν δοθεισῶν ιγ καὶ κα καὶ κ εὑρήσθω 20 ἡ ΑΖ κάθετος· ἔστιν δὲ μονάδων ιβ, ὡς ἐμάθομεν· καὶ σύνθες κζ καὶ ⟨ς⟩· γίγνεται τὸ ἥμισυ ιςL· ταῦτα ἐπὶ ⟨ιβ· γίγνεται ρϙη⟩. τοσούτου ἔσται τὸ ἐμβαδόν.

fol. 74ʳ ιγ. Ἔστω τραπέζιον ἀμβλυγώνιον τὸ ΑΒΓΔ ἔχον ἀμβλεῖαν τὴν πρὸς τῷ Β, καὶ ἔστω ἡ μὲν ΑΒ 25 μονάδων ιγ, ἡ δὲ ΓΔ κ, ἡ δὲ ΑΓ ς, ἡ δὲ ΒΔ μονάδων ιζ. εὑρεῖν αὐτοῦ τὴν κάθετον καὶ τὸ ἐμβαδόν. ἤχθω κάθετος ἡ ΑΕ καὶ τῇ ΓΔ παράλληλος ἡ ΑΖ· ἔσται ἄρα ἡ μὲν ΑΖ μονάδων κ, ἡ δὲ ΖΔ μονάδων ς· καὶ λοιπὴ ἄρα ἡ ΒΖ μονάδων ια· ὥστε διὰ τὸ τὸ ΑΒΖ 30 τρίγωνον ἀμβλυγώνιον εἶναι ἔσται ἡ ΑΕ μονάδων ιβ.

sein. Folglich wird $BE = 21$ sein, sodaſs, weil $AB E$ ein spitzwinkeliges Dreieck ist, die Höhe $AZ = 12$ sein wird. Werden nun AB und $\Gamma\Delta$ in H und Θ halbiert und die Höhen $KH\Lambda$ und $M\Theta N$ gefällt, so werden wir, ähnlich wie oben, zeigen, daſs das Trapez $AB\Gamma$ = dem Parallelogramm $K\Lambda MN$ ist. Nun ist aber $B\Gamma + A\Delta = 2KM$, also wird $KM = 16\frac{1}{2}$ sein. Es ist aber auch $K\Lambda = 12$, da auch $AZ = 12$ ist. Also wird der Inhalt des Trapezes = 198 sein. Berechnet wird es, der Analyse entsprechend, in folgender Weise. $27 - 6 = 21$. Nun muſs von einem spitzwinkeligen Dreieck, dessen Seiten = 13, 21 und 20 gegeben sind, die Höhe AZ gefunden werden; sie ist = 12, wie wir gelernt haben.

$$27 + 6 = 33$$

$$\frac{33}{2} = 16\frac{1}{2}$$

$$16\frac{1}{2} \times 12 = 198.$$

So groſs wird der Inhalt sein.

XIII. Es sei $AB\Gamma\Delta$ ein stumpfwinkeliges Trapez, das bei B einen stumpfen Winkel hat, und es sei $AB = 13$, $\Gamma\Delta = 20$, $A\Gamma = 6$, $B\Delta = 17$. Zu finden seine Höhe und den Inhalt. Es werde die Höhe AE und zu $\Gamma\Delta$ die Parallele AZ gezogen. Also wird $AZ = 20$, $Z\Delta = 6$ sein; folglich ist $BZ = 11$; sodaſs, weil das Dreieck ABZ stumpfwinkelig ist, $AE = 12$ sein wird. Und ähnlich dem oben gesagten wird bewiesen werden, daſs $(B\Delta + A\Gamma) \times AE$ = dem doppelten Trapez $AB\Gamma\Delta$ sein wird. Der




Fig. 15.

---

2 ⟨τὸ⟩ suprascr. m. 2 ⟨εἶναι⟩ ante τρίγωνον add. man. 2 5 τὸ ἐπάνω: corr. man. 2 22 ⟨ϛ⟩ addidi 23 supplevi 25 τῆς πρὸς τὸ: corr. man. 2 26 ΓΔ ιL: corr. m. 2 26 ΑΓ ex ΑΔ fec. m. 2.

καὶ ὁμοίως τοῖς ἐπάνω δειχθήσεται τὸ ὑπὸ συναμφοτέρου τῆς ΒΔ ΑΓ καὶ τῆς ΑΕ διπλάσιον τοῦ ΑΒΓΔ τραπεζίου· τὸ ἄρα ἐμβαδὸν τοῦ τραπεζίου ἔσται μονάδων ρλη. συντεθήσεται δὲ οὕτως· ἄφελε ἀπὸ τῶν ιζ τὰ ς· λοιπὰ ια· καὶ τριγώνου ἀμβλυγωνίου τῶν πλευρῶν 5 δοθεισῶν ιγ, ια, κ εὑρήσθω ἡ κάθετος· γίγνεται ιβ· καὶ σύνθες τὰ ιζ καὶ ⟨ς·⟩ γίγνεται κγ· τούτων τὸ ἥμισυ γίγνεται ιαL· ταῦτα ἐπὶ τὰ ιβ· γίγνεται ρλη· τοσούτου ἔσται τὸ ἐμβαδὸν τοῦ τραπεζίου.

⟨ιδ·⟩ Ὁ δὲ ῥόμβος καὶ τὸ ῥομβοειδὲς τὴν μέτρησιν 10 φανερὰν ἔχουσιν. δεῖ γὰρ ἑκατέρου αὐτῶν τὰς πλευρὰς δοθείσας εἶναι καὶ μίαν διάμετρον. ὧν δοθέντων ὁ μὲν ῥόμβος ἔσται ἐκ δύο ἰσοσκελῶν τριγώνων συγκείμενος, τὸ δὲ ῥομβοειδὲς ἐκ δύο τριγώνων ἤτοι ὀξυγω-
fol. 74ᵛ ν⟨ί⟩ων | ⟨ἢ ἀμβλυγωνίων⟩, καὶ διὰ τοῦτο δοθήσεται 15 αὐτῶν ⟨τὸ ἐμβαδόν⟩. τὰ μὲν οὖν ἀποδειχθέντα τετράπλευρα ⟨μίαν πλευρὰν μιᾷ πλευρᾷ⟩ παράλληλον εἶχε· ⟨τὸ δὲ παρὸν τὸ Α⟩ ΒΓΔ τὴν μὲν πρὸς τῷ Γ γωνίαν ⟨ἐχέτω⟩ ὀρθήν, μηδεμίαν δὲ πλευρὰν μηδεμιᾷ παράλληλο⟨ν καὶ⟩ ἔτι ἑκάστην τῶν πλευρῶν δοθεῖσαν, τὴν 20 μὲν ⟨ΑΒ μονάδων⟩ ιγ, τὴν δὲ ⟨Β⟩Γ μονάδων ι, τὴν δὲ ΓΔ μονάδων κ, τὴν δὲ ΔΑ μονάδων ιζ· δεῖξαι αὐτοῦ τὸ ἐμβαδὸν δοθέν. ἐπεζεύχθω ἡ Β⟨Δ⟩· καὶ ἐπ' αὐτὴν κάθετος ⟨ἤχθω⟩ ἡ ΑΕ. ἐπεὶ ἑκατέρα τῶν ΒΓ ΓΔ δοθεῖσά ἐστιν καὶ ὀρθὴ ἡ πρὸς τῷ [Δ]Γ, 25 δοθὲν ἄρα ἐστὶ τὸ ΒΓΔ τρίγωνον· καὶ ἔτι τὸ ἀπὸ τῆς ΒΔ ἔσται δοθέν· ἔστι γὰρ μονάδων φ· ἀλλὰ καὶ

---

2 διπλάσιον τὸ: corr. m. 2 5 τρίγωνον: corr. m. 2 10 in mg. numerus capitis non adscriptus 14—15 ὀξυγώνων: correxi 15 spatium 12 litterarum; supplevit m. 2 16 spatium 12 litterarum; supplevi. ⟨ἕκαστον⟩ perperam m. 2 17 spatium 17 litterarum; supplevit m. 2 18 spatium 13 litterarum; supplevit m. 2

Inhalt des Trapezes wird daher = 138 sein. Berechnet wird es folgendermaſsen:

$$17 - 6 = 11.$$

Nun ist in einem stumpfwinkeligen Dreieck, dessen Seiten
5 = 13, 11 und 20 gegeben sind, die Höhe zu finden. Sie ist = 12.

$$17 + 6 = 23$$
$$\tfrac{23}{2} = 11\tfrac{1}{2}$$
$$11\tfrac{1}{2} \times 12 = 138.$$

10 So groſs wird der Inhalt des Trapezes sein.

XIV. Beim Rhombus und beim Rhomboïd ist die Art der Ausmessung von selbst klar. Es müssen nämlich von jedem der beiden die Seiten und ein Durchmesser gegeben sein. Wenn diese Stücke gegeben sind, so wird der
15 Rhombus aus zwei gleichschenkeligen Dreiecken zusammengesetzt sein, das Rhomboid dagegen aus zwei spitzwinkeligen oder stumpfwinkeligen Dreiecken. Und aus diesem Grunde wird der Inhalt derselben gegeben sein.

Die behandelten Vierecke nun hatten immer eine Seite
20 einer anderen parallel. Das jetzt vorliegende $AB\Gamma\Delta$ jedoch soll bei Γ einen rechten Winkel haben, aber keine Seite der anderen parallel; weiter soll jede der Seiten gegeben sein und zwar $AB = 13$, $B\Gamma = 10$, $\Gamma\Delta = 20$, $\Delta A = 17$. Zu zeigen, daſs damit sein Inhalt gegeben ist. Man ziehe
25 die Verbindungslinie $B\Delta$ und auf sie die Senkrechte AE. Da nun jede der beiden Linien $B\Gamma$ und $\Gamma\Delta$ gegeben ist, und der Winkel bei Γ ein rechter ist, so ist das Dreieck $B\Gamma\Delta$ gegeben. Weiter ist auch $B\Delta^2$ gegeben = 500;

πρὸς τὸ: correxit m. 2 19 spatium 10 litterarum; supplevit m. 2 20 spatium 9 litterarum; supplevit m. 2 21 spatium 4 litterarum; supplevi spatium 1 litterae; supplevit m. 2 23 ⟨Δ⟩ supra lineam add. man. 2 24 spatium 4 litterarum; supplevit m. 2 25 [Δ] delevit man. 1 24 post AE inseruit καὶ m. 2

τὸ ἀπὸ τῆς ΑΒ δοθέν· δοθέντα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΒ ΒΔ· καὶ ἔστι μείζονα τοῦ ἀπὸ τῆς ΑΔ. ὀξεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ ΒΔ τοῦ ἀπὸ τῆς ΑΔ μείζονά ἐστιν τῷ δὶς ὑπὸ τῶν ΔΒ ΒΕ. δοθὲν ἄρα ἐστὶν τὸ δὶς ὑπὸ τῶν ΔΒ ΒΕ· ὥστε καὶ τὸ ἅπαξ ὑπὸ τῶν ΔΒΒΕ δοθέν ἐστι· καὶ ἔστι πλευρὰ τοῦ ἀπὸ τῆς ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ. δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΔΒ ἐπὶ τὸ ἀπὸ ΒΕ· καὶ ἔστι δοθὲν τὸ ἀπὸ ΒΔ· δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΒΕ. ἀλλὰ καὶ τὸ ἀπὸ [Β]ΕΑ ἐπὶ τὸ ἀπὸ ΒΔ· καὶ ἔστιν αὐτοῦ πλευρὰ τὸ ὑπὸ ΒΔ ΑΕ. δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΒΔ ΑΕ. καὶ ἔστι διπλάσιον τοῦ ΑΒΔ τριγώνου· δοθὲν ἄρα καὶ τὸ ΑΒΔ τρίγωνον· ἀλλὰ καὶ τὸ ΒΓΔ· ὥστε καὶ ὅλον τὸ ΑΒΓΔ τετράπλευρον δοθὲν ἔσται. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως· τὰ ι ἐπὶ τὰ κ· γίγνεται σ. καὶ τούτων τὸ ἥμισυ· γίγνεται ρ. καὶ πάλιν τὰ ι ἐφ᾽ ἑαυτά· γίγνεται ρ. καὶ τὰ κ ἐφ᾽ ἑαυτά·




Fig. 16.




Fig. 17.

7 τῶ δὶς: corr. man. 2 13 ΒΕΑ: del. Β et τῆς suprascripsit m. 2.

es ist aber auch AB^2 gegeben. Also ist $AB \times B\Delta$ gegeben, und dies ist gröfser als $A\Delta^2$. Also ist der Winkel $AB\Delta$ ein spitzer. Folglich ist




Fig. 18.

$$AB \times B\Delta - 2\,\Delta B \times BE = A\Delta^2.$$

Folglich ist $2\,\Delta B \times BE$ gegeben, sodafs auch $\Delta B \times BE$ gegeben ist, und zwar ist es $= \sqrt{B\Delta^2 \times BE^2}$. Gegeben ist also auch $\Delta B^2 \times BE^2$. Und gegeben ist $B\Delta^2$, also auch BE^2.
10 Aber auch $EA^2 \times B\Delta^2$. Und es ist

$$\sqrt{EA^2 \times B\Delta^2} = B\Delta \times AE.$$

Gegeben ist also auch $B\Delta \times AE$. Und dies ist doppelt so grofs als das Dreieck $AB\Delta$. Gegeben ist also auch




Fig. 18a.

das Dreieck $AB\Delta$; aber auch $B\Gamma\Delta$; sodafs das ganze
15 Viereck $AB\Gamma\Delta$ gegeben sein wird. Berechnet wird es, der Analyse entsprechend, in folgender Weise:

γίγνεται υ. σύνθες· γίγνεται φ. καὶ τὰ ιγ ἐφ' ἑαυτά· fol. 75r γίγνεται ρξθ. ταῦτα μετὰ τῶν φ γίγνεται χξθ· ἄφελε | τὰ ιζ ἐφ' ἑαυτά· λοιπαὶ τπ· τούτων τὸ ἥμισυ γίγνεται ρϙ· ταῦτα ἐφ' ἑαυτά· γίγνεται $\overset{\gamma}{\mu}$͵ϛρ. ταῦτα παρὰ τὸν φ· γίγνεται οβ ε΄· ἄφελε ταῦτα ἀπὸ τῶν ⟨ρ⟩ξθ· γίγνονται λοιπαὶ ϙϛ∟ε΄ι΄. ταῦτα ἐπὶ τὸν φ· γίγνεται ⟨$\overset{\delta}{\mu}$͵ηυ.⟩ τούτων πλευρὰ γίγνεται σκ· τούτων τὸ ἥμισυ γίγνεται ρι· τοσούτου ἔσται τοῦ *ΑΒΔ* τὸ ἐμβαδόν. ἀλλὰ καὶ τοῦ ⟨*ΒΓΔ*⟩ μονάδων ρ· τοῦ ἄρα *ΑΒΓΔ* τετραπλεύρου τὸ ἐμβαδὸν ἔσται ⟨σι.⟩ [ἔστιν] ⟨ὅτι⟩ δὲ καὶ ἡ ἀπὸ τοῦ *Α* κάθετος ἀγομένη ἐπὶ τὴν *ΓΔ* δοθεῖσά ἐστιν, δείξομεν ἑξῆς.

ιε. Ἔστω τραπέζιον τὸ *ΑΒΓΔ* δοθεῖσαν ἔχον ἑκάστην τῶν πλευρῶν καὶ ὀρθὴν τὴν ὑπὸ *ΒΓΔ* γωνίαν. ὅτι δοθεῖσά ἐστιν ἡ ἀπὸ τοῦ *Α* κάθετος ἀγομένη ἐπὶ τὴν *ΓΔ*. ἤχθω γὰρ ἐπὶ μὲν τὴν *ΓΔ* κάθετος ἡ *ΑΖ*, ἐπὶ δὲ τὴν *ΑΖ* ἡ *ΒΗ*, ἐπὶ δὲ τὴν *ΒΔ* ἡ *ΑΕ*. φανερὸν δή, ὅτι δοθεῖσά ἐστιν ἡ *ΒΔ* καὶ ἡ ἐπ' αὐτὴν κάθετος ἡ *ΑΕ*, ἐπεὶ καὶ αἱ *ΒΑ*, *ΑΔ* δοθεῖσαί εἰσιν. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ *ΓΒΔ* τῇ ὑπὸ *ΒΘΑ*, ἀλλὰ καὶ ὀρθὴ ἡ ὑπὸ *ΒΓΔ* ὀρθῇ τῇ ὑπὸ *ΑΕΘ* ἴση, ἔστιν ἄρα ὡς ἡ *ΔΓ* πρὸς *ΓΒ*, ἡ *ΑΕ* πρὸς *ΕΘ*. λόγος δὲ τῆς *ΓΔ* πρὸς *ΓΒ* δοθείς· λόγος ἄρα καὶ τῆς *ΑΕ* πρὸς *ΕΘ* δοθείς. καὶ ἔστι δοθεῖσα ἡ *ΑΕ*· δοθεῖσα ἄρα καὶ ἡ *ΕΘ*. καὶ ὀρθὴν γωνίαν περιέχουσι· δοθεῖσα ἄρα καὶ ἡ *ΑΘ*. καὶ ἐπεὶ ἑκατέρα τῶν *ΒΕ*, *ΕΘ* δοθεῖσά ἐστιν, δοθὲν ἄρα τὸ ὑπὸ τῶν

---

5 ⟨ρ⟩ in rasura scripsit man. 2 6 ἐπὶ τῶν: correxi spatium 6 litterarum: supplevi 8 *ΑΒΓ*: corr. et τριγώνου add. m. 2 10 spatium 4 litterarum: supplevit m. 2 [ἔστιν] delevi ⟨σι⟩ suprascr. m. 2 spatium 4 litterarum: supplevit m. 2

$$10 \times 20 = 200$$
$$\frac{200}{2} = 100$$
$$10^2 = 100$$
$$20^2 = 400$$
$$400 + 100 = 500$$
$$13^2 = 169$$
$$500 + 169 = 669$$
$$669 - 17^2 = 380$$
$$\frac{380}{2} = 190$$
$$190^2 = 36\,100$$
$$\frac{36\,100}{500} = 72\tfrac{1}{5}$$
$$169 - 72\tfrac{1}{5} = 96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10}$$
$$\left(96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10}\right) \times 500 = 48\,400$$
$$\sqrt{48\,400} = 220$$
$$\frac{220}{2} = 110.$$

So grofs wird der Inhalt des Dreiecks $AB\Delta$ sein. Aber auch der Inhalt von $B\Gamma\Delta = 100$. Der Inhalt des Vierecks $AB\Gamma\Delta$ wird also $= 210$ sein. Dafs aber auch die von A auf $\Gamma\Delta$ gefällte Senkrechte gegeben ist, werden wir im Folgenden zeigen.

XV. Es sei $AB\Gamma\Delta$ ein Trapez, in dem jede der Seiten gegeben und der Winkel $B\Gamma\Delta$ ein rechter ist. Zu zeigen, dafs die von A auf $\Gamma\Delta$ gefällte Senkrechte gegeben ist. Es werde auf $\Gamma\Delta$ die Senkrechte AZ gefällt, und auf AZ die Senkrechte BH, auf $B\Delta$ die Senkrechte AE. Nun ist klar, dafs $B\Delta$ und die Senkrechte darauf, AE, gegeben ist, da auch BA und $A\Delta$ gegeben sind. Und da Winkel $\Gamma B\Delta = B\Theta A$[1]), aber auch der rechte Winkel $B\Gamma\Delta$ = dem rechten Winkel $AE\Theta$ ist,

1) Θ ist Schnittpunkt von AZ und $B\Delta$.

ΒΘΕ. καὶ ἔστιν ἴσον τῷ ὑπὸ τῶν ΑΘΗ· ὀρθὴ γὰρ ἑκατέρα τῶν πρὸς τοῖς Ε, Η. δοθεῖσα ἄρα καὶ ἡ ΗΘ· ὥστε καὶ ἡ ΑΗ· ἀλλὰ καὶ ἡ ΗΖ· ἴση γάρ ἐστι τῇ ΒΓ· καὶ ὅλη ἄρα ἡ ΑΖ δοθεῖσά ἐστιν. συντεθή- fol. 75v *σεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· | ἔστω γὰρ* 5 *ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΒΓ μονάδων ι, ἡ δὲ ΓΔ μονάδων κ, ἡ δὲ ΔΑ μονάδων ιζ. ἀκολούθως δὴ τοῖς ἐπὶ τοῦ ἐμβαδοῦ εἰρημένοις ἔσται ἡ μὲν ΑΕ κάθετος δυνάμει ϙϛ∟έί, ἡ δὲ ΒΕ δυνάμει οβ έ, ἡ δὲ ΒΔ δυνάμει φ. καὶ ἐπεὶ ἡ μὲν ΓΔ ἐστὶ μονά-* 10 *δων κ, ἡ δὲ ΓΒ μονάδων ι, τὰ ἄρα ἀπὸ τούτων μονάδων υ καὶ μονάδων ρ. ποίησον οὖν ὡς τὰ υ πρὸς ρ, τὰ ϙϛ ⟨ε′⟩ δ πρὸς τί· ἔσται πρὸς κδέ· τοσοῦτου ἔσται τὸ ἀπὸ Ε⟨Θ⟩. καὶ ⟨πο⟩λλα⟨πλασιάσαντες⟩ τὰ οβ έ ἐπὶ τὰ κδ έ καὶ τῶν γενομένων τὴν πλευρὰν* 15 *λαβόντες καὶ διπλασιάσαντες ἃ γίγνεται τοῦ δὶς ὑπὸ τῶν ΒΕ ⟨ΕΘ⟩ προσθήσομεν τοῖς ἀπὸ ΒΕ, ΕΘ, τουτέστι τοῖς οβ έ καὶ κδ έ συντεθεῖσιν. καὶ ἕξομεν τὴν ΒΘ δυνάμει ρπ. καὶ σύνθες τὰ ϙϛ ∟ έ ί καὶ κδ έ· γίγνεται ρκα. καὶ πολλαπλασίασον τὰ ρπ ἐπὶ* 20 *τὰ κδ έ· γίγνεται δυνάμει ͵δτνϛ. μέρισον εἰς τὸν ρκα· γίγνεται λϛ. καὶ ἄφελε ἀπὸ δυνάμει ρκα δυνάμει λϛ [λοιπὰ δυνάμει λϛ] λοιπὰ δυνάμει κε, ἅ ἐστι μήκει ε. πρόσθες ὅσων ἐστὶν ἡ ΒΓ· ἔστι δὲ ι· γίγνεται ιε· τοσοῦτου ἔσται ἡ ΑΖ κάθετος. καὶ ἡ μὲν* 25 *ΕΘ δυνάμει κδέ, ἡ δὲ ΗΘ μήκει ϛ, ἡ δὲ ΑΘ μήκει ια.*

---

9 ϙϛ ∟ ε′ ι′ ε: sed extremam litteram del. m. 1 14 supplevit m. 2 17 ⟨ΕΘ⟩ add. m. 2 19 *συνθέντες*: corr. m. 2 23 [*λοιπὰ δυνάμει λϛ*] del. m. 2 24 *ὅσον*: correxi 25 *τοσοῦτον*: correxi

so ist $\varDelta\Gamma : \Gamma B = AE : E\Theta$. Nun ist aber das Verhältnis von $\Gamma\varDelta$ zu ΓB gegeben; also ist auch das Verhältnis von AE zu $E\Theta$ gegeben. Und gegeben ist AE; gegeben also auch $E\Theta$; und sie umschliefsen einen rechten Winkel, also ist auch $A\Theta$ gegeben. Und da jede der beiden Geraden BE und $E\Theta$ gegeben ist, so ist $B\Theta \times \Theta E$ gegeben, und es ist gleich $A\Theta \times \Theta H$. Denn jeder der beiden Winkel bei E und H ist gleich einem rechten. Gegeben ist also auch $H\Theta$; sodafs auch AH gegeben ist, ebenso aber auch HZ, denn es ist gleich $B\Gamma$. Also ist auch AZ ganz gegeben. Berechnet wird es nun, der Analyse entsprechend, folgendermafsen. Es sei $AB = 13$, $B\Gamma = 10$, $\Gamma\varDelta = 20$, $\varDelta A = 17$. Entsprechend nun dem beim Inhalt Bemerkten wird die Höhe im Quadrat $= 96\frac{1}{2} + \frac{1}{5} + \frac{1}{10}$ sein. Es ist aber $BE^2 = 72\frac{1}{5}$ und $B\varDelta^2 = 500$. Und da $\Gamma\varDelta = 20$, $\Gamma B = 10$, so sind ihre Quadrate 400 und 100. Setze nun $400 : 100 = 96\frac{4}{5} : x$. Dann wird $x = 24\frac{1}{5}$ sein. So grofs wird $E\Theta^2$ sein. Wir multiplizieren nun $72\frac{5}{1}$ mit $24\frac{1}{5}$ und ziehen aus dem Produkt die Wurzel, nehmen den doppelten Wert von $BE \times E\Theta$, und setzen dies zu $BE^2 + E\Theta^2$, d. h. zu $72\frac{1}{5} + 24\frac{1}{5}$ hinzu und erhalten $B\Theta^2 = 180$.

$$96\tfrac{1}{2} + \tfrac{1}{5} + \tfrac{1}{10} + 24\tfrac{1}{5} = 121$$

$$\left(180 \times 24\tfrac{1}{5}\right)^2 = 4356$$

$$\frac{4356}{121} = 36$$

$$\sqrt{121} - \sqrt{36} = \sqrt{25}$$

$$\sqrt{25} = 5$$

$$5 + 10 = 15.$$

So grofs wird die Höhe AZ sein. Und es ist $E\Theta^2 = 24\frac{1}{5}$ $H\Theta = 6$, $A\Theta = 11$.

ις. Ἔστω δὴ πάλιν τραπέζιον τὸ ΑΒΓΔ ἔχον τὴν μὲν πρὸς τῷ Γ ὀρθήν, τὴν δὲ ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ι, τὴν δὲ ΓΔ μονάδων η, τὴν δὲ ΑΔ μονάδων κε. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ἐπεζεύχθω ἡ ΒΔ. ὁμοίως δὴ ἔσται τοῦ ΒΓΔ τριγώνου τὸ ἐμβαδὸν 5 δοθέν. καὶ τὸ ἀπὸ τῆς ΒΔ μονάδων ρξδ· ἀλλὰ καὶ fol. 76ʳ τὸ ἀπὸ τῆς | ΑΒ μονάδων ρξθ· τὰ ἄρα ἀπὸ τῶν ΑΒ ΒΔ ἔσται μονάδων τλγ. καὶ ἔστιν ἐλάσσονα τοῦ ἀπὸ τῆς ΑΔ. ἀμβλεῖα ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΔ. ἤχθω δὴ κάθετος ἐπὶ τὴν ΒΔ ἐκβληθεῖσαν ἡ ΑΕ· 10 τὸ ἄρα ἀπὸ τῆς ΑΔ τῶν ἀπὸ τῶν ΑΒ ΒΔ μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΒΔ ΒΕ· δοθὲν ἄρα τὸ δὶς ὑπὸ τῶν ΒΔ ΒΕ· ὥστε καὶ τὸ ὑπὸ τῶν ΔΒ ΒΕ δοθέν ἐστιν. καὶ ἔστι πλευρὰ τοῦτο τοῦ ἀπὸ ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ· δοθὲν ἄρα τὸ ἀπὸ ΒΔ ἐπὶ τὸ ἀπὸ ΒΕ. 15 ἀλλὰ καὶ τὸ ἀπὸ ΒΔ. καὶ λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΕΒ δοθέν ἐστι. καὶ ὀρθή ἐστιν ἡ πρὸς τῷ Ε· δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΑΕ. ὥστε καὶ τὸ ἀπὸ ΑΕ ἐπὶ τὸ ἀπὸ ΒΔ δοθέν ἐστιν. καὶ ἔστιν αὐτοῦ πλευρὰ ⟨τὸ⟩ ὑπὸ τῶν ΑΕ ΒΔ. δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΑΕ ΒΔ. 20 καὶ ἔστιν αὐτοῦ ἥμισυ τὸ ΑΒΔ τρίγωνον. δοθὲν ἄρα καὶ τὸ ΑΒΔ τρίγωνον· ὥστε καὶ ὅλον τὸ ΑΒΓΔ τετράπλευρον δοθέν ἐστιν. συντεθήσεται δὲ οὕτως· τὰ ι ἐφ' ἑαυτά· γίγνεται ρ. καὶ τὰ η ἐφ' ἑαυτά· γίνεται ξδ· ὁμοῦ ρξδ. καὶ τὰ ιγ ἐφ' ἑαυτά· γίγνεται 25 ρξθ· σύνθες· γίγνεται τλγ. καὶ τὰ κε ἐφ' ἑαυτά· γίγνεται χκε. ἄφελε τὰ τλγ· γίγνεται λοιπὰ σϙβ. τούτων τὸ ἥμισυ· γίγνεται ρμϛ· ταῦτα ἐφ' ἑαυτά· γίγνεται μονάδες ͵κατιϛ· παρὰ τὸν ρξδ· γίγνεται

19 ⟨τὸ⟩ inserui 29 ταῦτα ante παρὰ inseruit m. 2

XVI. Es sei wiederum $AB\Gamma\Delta$ ein Trapez, in dem bei Γ ein rechter Winkel und $AB = 13$, $B\Gamma = 10$, $\Gamma\Delta = 8$, $A\Delta = 25$ ist. Zu finden seinen Inhalt. Man ziehe die Verbindungslinie $B\Delta$, dann ist in ähnlicher 5 Weise (wie vorher) der Inhalt des Dreiecks $B\Gamma\Delta$ gegeben. Und es ist $B\Delta^2 = 164$; aber $AB^2 = 169$. Also wird




Fig. 19a.

$$AB^2 + B\Delta^2 = 333$$

10 sein. Und dies ist kleiner als $A\Delta^2$. Also ist der Winkel $AB\Delta$ ein stumpfer. Es werde nun auf die Verlängerung von $B\Delta$ die Ka-15 thete AE gefällt. Also ist $A\Delta^2 - 2B\Delta \times BE = AB^2 + B\Delta^2$. Es ist also $2B\Delta \times BE$ gegeben, sodaſs auch $B\Delta \times BE$ ge-20 geben ist, und es ist dieses $= \sqrt{B\Delta^2 \times BE^2}$. Gegeben




Fig. 19b u. c.

ist also auch $B\Delta^2 \times BE^2$, aber auch $B\Delta^2$, und es ist also auch EB^2 gegeben. Und der Winkel bei E ist ein rechter; gegeben ist also auch AE^2, sodaſs auch $AE^2 \times B\Delta^2$ gegeben ist. Und die Wurzel daraus ist gleich 25 $AE \times B\Delta$; also ist auch $AE \times B\Delta$ gegeben. Und die Hälfte hiervon ist das Dreieck $AB\Delta$; gegeben ist also

ρκθ καὶ ρξ· ταῦτα ἄφελε ἀπὸ τῶν ρξθ· λοιπὰ λθ καὶ δ. ταῦτα πολλαπλασίασον ἐπὶ τὸν ρξδ· γίγνεται ,ςυ· ὧν πλευρὰ γίγνεται π· τούτων τὸ ἥμισυ· γίγνεται μ. ἔσται τοῦ ΑΒΔ τριγώνου τὸ ἐμβαδὸν μονάδων μ. ἀλλὰ καὶ τοῦ ΒΓΔ ὁμοίως μ· ὅλου ἄρα τοῦ ΑΒΓΔ τραπεζίου τὸ ἐμβαδὸν ἔσται μονάδων π, ὅπερ ἔδει δεῖξαι. 5

fol. 76v Ὅσα μὲν οὖν ἔδει ἐπί τε τριπλεύρων καὶ τετραπλεύρων τεταγμένων εἰπεῖν, προγέγραπται· ἐὰν δὲ δέῃ καὶ τετραπλεύρου τυχόντος τὰς πλευρὰς λαβόντας τὸ ἐμβαδὸν εἰπεῖν, δεήσει καὶ μίαν διαγώνιον λαβεῖν 10 αὐτοῦ, ὥστε διαιρεθὲν αὐτὸ εἰς δύο τρίγωνα ἔχειν τὸ ἐμβαδὸν δοθέν. ἐμάθομεν γὰρ τριγώνου τῶν πλευρῶν δοθεισῶν τὸ ἐμβαδὸν εὑρεῖν τῇ καθολικῇ μεθόδῳ. ἄνευ δὲ μιᾶς διαγωνίου ἀδύνατον ἔσται τὸ ἐμβαδὸν τοῦ τετραπλεύρου εἰπεῖν. τῶν γὰρ αὐτῶν 15 πλευρῶν δοθεισῶν τοῦ τετραπλεύρου μεταπίπτει τὸ ἐμβαδὸν διαρομβουμένου αὐτοῦ καὶ παρασπωμένου ἐν ταῖς αὐταῖς πλευραῖς. καὶ τὰ μὲν περὶ τῶν τριπλεύρων καὶ τετραπλεύρων ἐπὶ τοσοῦτον εἰρήσθω, ἑξῆς δὲ περὶ τῶν ἰσοπλεύρων τε καὶ ἰσογωνίων εὐθυ- 20 γράμμων γράψομεν ἄχρι τοῦ δωδεκαγώνου, ἐπειδὴ τοῦτο συνεγγίζει μᾶλλον τῇ τοῦ κύκλου περιφερείᾳ.

ιζ. Ἔστω δὲ πρότερον τρίγωνον ἰσόπλευρον, οὗ ἑκάστη ἐστὶ πλευρὰ μονάδων ι. καὶ ἔστω τὸ ΑΒΓ. ἤχθω κάθετος ἐπὶ τὴν ΓΒ ἡ ΑΔ. ἐπεὶ διπλῆ ἐστιν 25 ἡ ΒΓ, τουτέστιν ἡ ΑΒ, τῆς ΒΔ, τετραπλάσιον ἄρα τὸ ἀπὸ ΑΒ τοῦ ἀπὸ ΒΔ. ὥστε τριπλάσιον τὸ ἀπὸ ΑΔ τοῦ ἀπὸ ΔΒ. τοῦ δὲ ἀπὸ ΔΒ τετραπλάσιόν

11 ὡς τὸ: corr. man. 2

auch das Dreieck $AB\Delta$, so daſs auch das ganze Viereck $AB\Gamma\Delta$ gegeben ist. Berechnet wird es folgendermaſsen.

$$10^2 = 100$$
$$8^2 = 64$$
$$100 + 64 = 164$$
$$13^2 = 169$$
$$169 + 164 = 333$$
$$25^2 = 625$$
$$625 - 333 = 292$$
$$\frac{292}{2} = 146$$
$$146^2 = 21\,316$$
$$21\,316 : 164 = 129\tfrac{160}{164}$$
$$169 - 129\tfrac{160}{164} = 39\tfrac{4}{164}$$
$$93\tfrac{4}{164} \times 164 = 6400$$
$$\sqrt{6400} = 80$$
$$\frac{80}{2} = 40.$$

Der Inhalt des Dreiecks $AB\Gamma$ wird $= 40$ sein. Aber auch $B\Gamma\Delta$ ist $= 40$. Der Inhalt des ganzen Trapezes $AB\Gamma\Delta$ wird also $= 80$ sein, was zu zeigen war.

Alles nun, was bei den bestimmten Dreiecken und Vierecken gesagt werden muſste, ist vorstehend aufgezeichnet. Falls es aber gilt, wenn man von einem beliebigen Viereck die Seiten kennt, seinen Inhalt anzugeben, so wird man auch noch eine Diagonale desselben kennen müssen, sodaſs, da es dann in 2 Dreiecke geteilt ist, sein Inhalt gegeben ist. Denn wir lernten, wenn von einem Dreieck die Seiten gegeben sind, seinen Inhalt durch die allgemeine Methode zu finden. Ohne eine Diagonale dagegen wird es nicht möglich sein den Inhalt des Vierecks anzugeben. Denn wenn ebendieselben Seiten des Vierecks gegeben sind, so verändert sich sein Inhalt, wenn es dem Rhombus genähert und, mit Beibehaltung derselben Seiten, seitwärts verschoben wird. So viel über die

ἐστι τὸ ἀπὸ ΒΓ. ἐπίτριτον ἄρα ἔσται τὸ ἀπὸ ΒΓ τοῦ ἀπὸ ΑΔ. τὸ ἄρα ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΑΔ λόγον ἔχει, ὃν δ πρὸς γ, καὶ πάντα ἐπὶ τὸν ἀπὸ ΒΙ, τουτέστιν τό τε ἀπὸ ΒΓ ἐφ' ἑαυτὸ καὶ τὸ ἀπὸ ΑΔ ἐπὶ τὸ ἀπὸ ΒΓ. ἡ ἄρα ἀπὸ τῆς ΒΓ | δυνάμεως πρὸς τὸ ἀπὸ τῆς ΒΓ ἐπὶ τὸ ἀπὸ τῆς ΑΔ λόγον ἔχει, ὃν δ πρὸς γ, τουτέστιν ὃν ις πρὸς ιβ. τὸ δὲ ἀπὸ τῆς ΒΓ ἐπὶ τὸ ἀπὸ τῆς ΑΔ τὸ ὑπὸ ΑΔ ΒΓ ἐστὶν ἐφ' ἑαυτό, τουτέστι δύο τρίγωνα ἐφ' ἑαυτά. ἡ ἄρα ἀπὸ ΒΓ δυναμοδύναμις πρὸς δύο τρίγωνα ἐφ' ἑαυτὰ λόγον ἔχει, ὃν ις πρὸς ιβ· δύο δὲ τρίγωνα ἐφ' ἑαυτὰ ἑνὸς τριγώνου ἐφ' ἑαυτό ἐστιν τετραπλάσια. ἡ ἄρα ἀπὸ τῆς ΒΓ δυναμοδύναμις πρὸς ἓν τρίγωνον ἐφ' ἑαυτὸ λόγον ἔχει, ὃν ις πρὸς γ. καὶ ἔστι δοθεῖσα ἡ ἀπὸ ΒΓ δυναμοδύναμις, ἐπεὶ καὶ ἡ ΒΓ. δοθὲν ἄρα ἐστὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου ἐφ' ἑαυτό· ὥστε καὶ αὐτὸ τὸ τρίγωνον δοθέν ἐστιν. συντεθήσεται δὲ ἀκολούθως τῇ ἀναλύσει οὕτως. τὰ ι ἐφ' ἑαυτά· γίγνεται ρ. ταῦτα ἐφ' ἑαυτά· γίγνεται $\overset{\alpha}{\mu}$· *τούτων λαβὲ* $\overset{\iota\varsigma}{\gamma}$. *γίγνεται ͵αωοε. τούτων πλευρὰν λαβέ· καὶ ἐπεὶ οὐκ ἔχει ῥητὴν πλευράν, εἰλήφθω ὡς ἐμάθομεν ἔγγιστα μετὰ διαφόρου. καὶ ἔσται τὸ ἐμβαδὸν μγ γ'.*




Fig. 20.

11 *δυναμο* in mg. supplevit m. 1   20 *δυναμοδυνάμεως*: correxi

Dreiecke und Vierecke. Im folgenden aber werden wir über die gleichseitigen und gleichwinkligen gradlinigen Figuren bis zum Zwölfeck schreiben, da dieses sich mehr dem Umfang des Kreises annähert.

5 XVII. Es sei nun zunächst ein Dreieck gleichseitig, von dem jede Seite $= 10$ sei. Und es sei $AB\Gamma$. Auf ΓB werde die Höhe $A\Delta$ gefällt. Da nun $B\Gamma = AB = 2B\Delta$, so ist $AB^2 = 4B\Delta^2$, also

10 $$A\Delta^2 = 3\Delta B^2;$$

es ist aber $\Delta B^2 = \frac{1}{4}B\Gamma^2$; also ist $B\Gamma^2 = \frac{3}{4}A\Delta^2$. Mithin ist $B\Gamma^2 : A\Delta^2 = 4:3$, und (dies) alles werde mit $B\Gamma^2$ multipli-

15 ziert, d. h. sowohl $B\Gamma^2$ mit sich selbst als auch $A\Delta^2$ mit $B\Gamma^2$; also $B\Gamma^4 : B\Gamma^2 \times A\Delta^2 = 4:3 = 16:12$. Es ist aber




Fig. 21.

$$B\Gamma^2 \times A\Delta^2 = (A\Delta \times A\Gamma)^2,$$

20 d. h. gleich dem Quadrat des doppelten Dreiecks. Also ist $B\Gamma^4$: Quadrat des doppelten Dreiecks $= 16:12$. Nun ist aber das doppelte Dreieck ins Quadrat $= 4$ mal 1 Dreieck ins Quadrat. Also ist $B\Gamma^4$: Dreiecksquadrat $= 16:3$. Nun ist $B\Gamma^4$ gegeben, da $B\Gamma$ gegeben ist. Also ist auch

25 der Inhalt des Dreiecks ins Quadrat, mithin auch das Dreieck selbst gegeben.

Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen.

$$10^2 = 100$$

30 $$100^2 = 10000$$

$$10000 \times \frac{3}{16} = 1875.$$

Daraus ziehe die Wurzel: und da es keine rationale Wurzel hat, so soll sie annähernd mit Differenz genommen werden, und dann wird der Inhalt $= 43\frac{1}{3}$ sein.

Λῆμμα. Ἔστω τρίγωνον ὀρθογώνιον τὸ *ΑΒΓ* ὀρθὴν ἔχον τὴν πρὸς τῷ *Γ*, δύο δὲ πέμπτων ὀρθῆς τὴν πρὸς τῷ *Α*. δεῖξαι ὅτι τὸ ἀπὸ συναμφοτέρου τῆς *ΒΑ ΑΓ* πενταπλάσιόν ἐστι τοῦ ἀπὸ *ΑΓ*. ἐκβεβλήσθω ἡ *ΑΓ* ἐπὶ τὸ *Δ*, καὶ τῇ *ΑΓ* ἴση κείσθω ἡ *ΓΔ*, καὶ ἐπε- 5 ζεύχθω ἡ *ΒΔ*. ἴση ἄρα ἡ μὲν *ΑΒ* τῇ *ΒΔ*, ἡ δὲ ὑπὸ *ΑΒΓ* γωνία τῇ ὑπὸ *ΓΒΔ*. ἀλλὰ ἡ ὑπὸ *ΓΒΑ* γωνία τριῶν πέμπτων ἐστὶν ὀρθῆς διὰ τὸ τὴν ὑπὸ *ΒΑΓ* γωνίαν δύο πέμπτων εἶναι· ἡ ἄρα ὑπὸ *ΑΒΔ* γωνία ἓξ πέμπτων ἐστὶν ὀρθῆς· πενταγώνου ἄρα ἐστὶ 10 γωνία ἡ ὑπὸ *ΑΒΔ*. καὶ ἔστιν ἴση ἡ *ΑΒ* τῇ *ΒΔ*· | fol. 77ᵛ τῆς ἄρα *ΑΔ* ἄκρον καὶ μέσον λόγον τεμνομένης τὸ μεῖζον τμῆμά ἐστιν ἡ *ΑΒ*. καὶ ἔστι τῆς *ΑΔ* ἡμίσεια ἡ *ΑΓ*· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς *ΒΑ ΑΓ* πεντα- πλάσιόν ἐστι τοῦ ἀπὸ τῆς *ΑΓ*. 15

ιη. Ἔστω πεντάγωνον ἰσόπλευρόν τε καὶ ἰσογώνιον τὸ *ΑΒΓΔΕ*, οὗ ἑκάστη πλευρὰ ἔστω μονάδων ι. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. εἰλήφθω τὸ κέντρον τοῦ περὶ αὐτὸ κύκλου τὸ *Ζ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΓΖ*, *ΖΔ* καὶ κάθετος ἐπὶ τὴν *ΓΔ* ἡ *ΖΗ*. ἔσται ἄρα ἡ 20 ὑπὸ τῶν *ΓΖΔ* γωνία τεσσάρων πέμπτων ὀρθῆς· ἡ ἄρα ὑπὸ *ΓΖΗ* δύο πέμπτων ἐστὶν ὀρθῆς. καὶ ἔστιν ὀρθὴ ἡ ὑπὸ *ΓΗΖ*· τὸ ἄρα ἀπὸ συναμφοτέρου τῆς *ΓΖ ΖΗ* πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς *ΖΗ*. ἀλλ' ἐπεὶ ἐν ἀριθμοῖς οὐκ ἔστιν εὑρεῖν τετράγωνον τετρα- 25 γώνου πενταπλάσιον, ὡς σύνεγγυς δεῖ λαβεῖν· ἔστι δὲ ὁ πα πρὸς ⟨ις.⟩ συναμφότερος ἄρα ὁ *ΓΖ ΖΗ* λόγον ἔχει πρὸς τὸν *ΖΗ*, ὃν θ πρὸς δ. καὶ διελόντι ὁ *ΓΖ* πρὸς *ΖΗ* λόγον ἔχει ⟨ὅ⟩ν ε πρὸς δ. καὶ τοῦ ⟨ἀπὸ⟩ *ΓΖ* ἄρα πρὸς ⟨τὸ⟩ ἀπὸ *ΖΗ*, ὃν κε πρὸς ις. καὶ 30 λοιπὸς τοῦ ἀπὸ *ΓΗ* πρὸς ⟨τὸ⟩ ἀπὸ *ΖΗ*, ὃν θ πρὸς

Hülfssatz. Es sei $AB\Gamma$ ein rechtwinkliges Dreieck, das bei Γ einen rechten Winkel hat, und den Winkel bei A $= \frac{2}{5}$ eines Rechten. Zu zeigen, daſs $(BA + A\Gamma)^2 = 5 A\Gamma^2$ ist. Es werde $A\Gamma$ bis Δ verlängert und es 5 sei $\Gamma\Delta = A\Gamma$ und es werde die Verbindungslinie $B\Delta$ gezogen. Also ist $AB = B\Delta$ und Winkel $AB\Gamma = \Gamma B\Delta$.

Nun ist aber Winkel $\Gamma BA = \frac{3}{5}$ eines Rechten, weil Winkel $BA\Gamma = \frac{2}{5}$ eines Rechten ist. Also ist Winkel $AB\Delta = \frac{6}{5}$ eines Rechten. Mithin ist $AB\Delta$ der Winkel eines (regel- 10 mäſsigen) Fünfecks. Und es ist $AB = B\Delta$. Wenn nun $A\Delta$ nach dem goldnen Schnitt geteilt wird, so ist AB der gröſsere Abschnitt und es ist $A\Delta = 2 A\Gamma$. Also ist $(BA + A\Gamma^2) = 5 A\Gamma^2$.

XVIII. Es sei $AB\Gamma\Delta E$ ein gleichseitiges und gleichwinkliges Fünfeck, von dem jede Seite $= 10$ sein soll. 15 Zu finden seinen Inhalt. Man nehme den Mittelpunkt des ihm umgeschriebenen Kreises Z und ziehe die Verbindungslinien ΓZ und 20 $Z\Delta$ und fälle auf $\Gamma\Delta$ die Höhe ZH. Also wird der Winkel $\Gamma Z\Delta = \frac{4}{5}$ eines Rechten sein; folglich Winkel $\Gamma ZH = \frac{2}{5}$ R. Und 25 $\Gamma ZH = 1$ R. Also ist $(\Gamma Z + ZH)^2 = 5 ZH^2$. Da es aber nicht möglich ist, in Zahlen ein Quadrat zu finden, das das Fünffache eines anderen Quadrats beträgt, so muſs man es annähernd 30 nehmen. Es ist aber 81 : ⟨16⟩. Also ist




Fig. 22.

---

1 $\overline{\lambda\eta}$ $\overline{\mu}$ $\mu\alpha$: correxi 2 et 3 πρὸς τὸ: correxi 20 $Z\Delta : \Delta$ ex Θ fec. m. 1 23 ΓZH: corr. m. 2 27 suppl. m. 2 28 δ in rasura m. 1 29 ἔχειν ε: correxi 29 spatium 3 litterarum; suppl. m. 3 30 et 31 ⟨τὸ⟩ addidi 31 ante τοῦ ins. ὁ m. 2

ιϛ· τῆς ἄρα ΓΗ πρὸς ΗΖ λόγος, ὃν γ πρὸς δ· ὥστε τῆς ΓΔ πρὸς ΖΗ λόγος ἐστὶν, ὃν ϛ πρὸς δ, τουτέστιν ὃν γ πρὸς β· τὸ ἄρα ἀπὸ ΓΔ πρὸς τὸ ὑπὸ ΓΔ ΖΗ λόγον ἔχει, ὃν γ πρὸς β. καὶ ἔστι δοθὲν τὸ ἀπὸ τῆς ΓΔ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ τῶν ΓΔ ΖΗ. 5 καὶ ἔστι διπλάσιον τοῦ ΓΖΔ τριγώνου· δοθὲν ἄρα καὶ τὸ ΓΖΔ τρίγωνον. καὶ ἔστι πέμπτον μέρος τοῦ ΑΒΓΔΕ πενταγώνου· δοθὲν ἄρα καὶ τὸ πεντάγωνον. συντεθήσεται δὲ οὕτως· τὰ ι[ε] ἐφ' ἑαυτά· γίγνεται ρ. τούτων τὸ τρίτον· γίνεται λγ γ'. ταῦτα πεντάκις· 10 fol. 78ʳ γίγνεται ρξϛ $\overset{\gamma'}{\beta}$. τοσού | του ἔσται τὸ ἐμβαδὸν τοῦ πενταγώνου ὡς ἔγγιστα· ἐὰν δὲ ἕτερον τετράγωνον ἑτέρου τετραγώνου πενταπλάσιον μᾶλλον ἐγγίζον λάβωμεν, ἀκριβέστερον εὑρήσομεν αὐτοῦ τὸ ἐμβαδόν.

ιϑ. Ἔστω ἑξάγωνον ἰσόπλευρον καὶ ἰσογώνιον τὸ 15 ΑΒΓΔΕΖ, οὗ ἑκάστη πλευρὰ ἀνὰ μονάδας ι. εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. εἰλήφθω 20 τὸ κέντρον τοῦ περὶ αὐτὸ κύκλου τὸ Η, καὶ ἐπεζεύχθωσαν αἱ ΓΗ, ΗΔ. ἴση ἄρα 25 ἐστὶν ἡ ΓΔ ἑκατέρᾳ τῶν ΓΗ, ΗΔ· ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΓΗΔ τρίγωνον. καὶ ἔστιν αὐτοῦ ἡ πλευρὰ δοθεῖσα· δοθὲν ἄρα καὶ τὸ ΓΗΔ τρίγωνον. 30




Fig. 23.

$$\Gamma Z + ZH : ZH = 9 : \langle 4 \rangle$$
$$\Gamma Z : ZH = 5 : 4$$
$$\Gamma Z^2 : ZH^2 = 25 : 16$$
$$\Gamma H^2 : ZH^2 = 9 : 16$$
5 $$\Gamma H : HZ = 3 : 4$$
$$\Gamma\Delta : ZH = 6 : 4 = 3 : 2$$
Also: $$\Gamma\Delta^2 : \Gamma\Delta \times ZH = 3 : 2.$$

Nun ist gegeben $\Gamma\Delta^2$, gegeben ist also auch $\Gamma\Delta \times ZH$ und dies ist zweimal so groſs als das Dreieck $\Gamma Z\Delta$.
10 Gegeben ist also auch das Dreieck $\Gamma Z\Delta$ und es ist $\frac{1}{5}$ des Fünfecks $AB\Gamma\Delta E$. Gegeben ist also auch das Fünfeck. Berechnet wird es folgendermaſsen:

$$10^2 = 100$$
$$\frac{100}{3} = 33\frac{1}{3}$$
15 $$33\frac{1}{3} \times 5 = 166\frac{2}{3}.$$

ιβ. Ἔστω δὴ τμῆμα σφαίρας μετρῆσαι, οὗ ἡ μὲν διάμετρος τῆς βάσεως ἔστω μονάδων ιβ, ἡ δὲ κάθετος 15 μονάδων β. πάλιν οὖν ὁ αὐτὸς Ἀρχιμήδης δείκνυσιν (de sph. et cyl. II, 2 coroll. vol. I p. 200 Heib.), ὅτι πᾶν τμῆμα σφαίρας πρὸς τὸν κῶνον τὸν τὴν αὐτὴν βάσιν ἔχοντα αὐτῷ καὶ ὕψος ἴσον λόγον ἔχει, ὃν ἡ τοῦ λοιποῦ τμήματος κάθετος μετὰ τῆς ἐκ τοῦ κέντρου 20 τῆς σφαίρας πρὸς τὴν αὐτὴν κάθετον. ἔστω οὖν τμῆμα τὸ εἰρημένον τῆς σφαίρας τὸ κατὰ τὸ $AB\Gamma$ τοῦ κύκλου, οὗ κάθετος ἡ $B\Delta$. καὶ ἔστω τὸ κέντρον τῆς σφαίρας τὸ Z. ὡς ἄρα τὸ τμῆμα τῆς σφαίρας πρὸς τὸν εἰρημένον κῶνον, οὕτω συναμφότερος ἡ $\Delta E\ EZ$ πρὸς τὴν 25 ΔE καὶ ἐπεὶ δοθεῖσά ἐστιν ἡ $A\Gamma$, δοθεῖσα ἄρα καὶ ἡ $A\Delta$· δοθὲν ἄρα καὶ τὸ ἀπὸ $A\Delta$, τουτέστι τὸ ὑπὸ $B\Delta\ \Delta E$. καὶ ἔστι δοθεῖσα ἡ $B\Delta$· δοθεῖσα ἄρα καὶ ἡ ΔE· καὶ ὅλη ἄρα ἡ BE δοθεῖσά ἐστιν. ὥστε καὶ ἡ EZ. καὶ συναμφότερος ἄρα ἡ $\Delta E\ EZ$ δοθεῖσά ἐστιν. 30

punkt A und dessen Spitze der Punkt Γ ist, und so groſs den Körperinhalt des abgestumpften Kegels angeben.

XI. Wenn der Durchmesser einer Kugel $= 10$ gegeben ist, ihren Körperinhalt zu finden. Archimedes in der
5 Schrift über Kugel und Cylinder zeigt, daſs der Cylinder, der eine Basis hat, die gleich einem gröſsten Kreise der Kugel ist, und eine Höhe gleich dem Durchmesser der Kugel, $1\frac{1}{2}$ mal so groſs als die Kugel ist. Daher wird
10 man nach diesem Satz 10^2 mit $\frac{11}{14}$ multiplizieren, dies mit der Höhe des Cylinders, d. h. 10, multiplizieren und von dem Produkt $\frac{2}{3}$ nehmen müssen, und so groſs den Körperinhalt der
15 Kugel angeben müssen. Er ist $= 523\frac{17}{21}$. Nach demselben Satze wird bewiesen, daſs 11 mal die dritte Potenz des Durchmessers der Kugel $=$ 21 mal der Kugelinhalt ist. Also




Fig. 54.

$$10^3 = 1000$$

20
$$1000 \times \frac{11}{21} = 523\,\frac{17}{21}.$$

So groſs hat man den Inhalt der Kugel anzugeben.

XII. Es sei ein Kugelsegment zu messen, dessen Basisdurchmesser $= 12$, dessen Höhe $= 2$ ist. Wiederum zeigt derselbe Archimedes, daſs jedes Kugelsegment zu
25 dem Kegel, der mit ihm die gleiche Basis und gleiche Höhe hat, dasselbe Verhältnis hat, wie die Höhe des übrig bleibenden Segments vermehrt um den Radius zu eben dieser Höhe.[1]) Es sei nun das genannte Kugelsegment

1) D. h. zur Höhe des übrig bleibenden Segments.

1 *ἴσον*: correxi 3 *ημιονος*: sed *λι* suprascr. m. 1 5 *τω* *ια* (*ιδ* suprascr.): *τὸ ἐνδεκάκις ιδ* m. 2 11 *σφαίρα*: correxi 12 *δὲ* *α* (*π* suprascr.): correxi

ἀλλὰ καὶ ἡ ΔΕ δοθεῖσ⟨ά ἐστιν⟩. λόγος ἄρα καὶ τοῦ
fol. 95r κώνου, οὗ βάσις μέν ἐστιν ὁ περὶ διά|μετρον τὴν ΑΓ
κύκλος, ὕψος δὲ ἡ ΒΔ, πρὸς τὸ τμῆμα τῆς σφαίρας
ἐστὶν δοθείς· καὶ ἔστι δοθεὶς ὁ κῶνος· δοθὲν ἄρα καὶ
τὸ τμῆμα τῆς σφαίρας. δεήσει δὲ κατὰ τὴν αὐτὴν ἀνά- 5
λυσιν λαβεῖν τῶν ιβ τὸ ἥμισυ καὶ ἐφ' ἑαυτὸ ποιῆσαι·
ἔστι δὲ λϛ· καὶ ταῦτα παραβαλεῖν παρὰ τὸν β· γίγ-
νεται ιη. καὶ προσθεῖναι τὰ β· γίγνεται κ. καὶ τού-
των τὸ ἥμισυ γίγνεται ι· ταῦτα μετὰ τῶν ιη γίγνεται




Fig. 55.

κη· καὶ τὴν κάθετον δὶς ποιῆσαι, τουτέστι τὰ β· 10
γίγνεται δ. ἐφ' ἑαυτὰ γίγνεται ιϛ· ταῦτα ἐπὶ τὰ κη·
γίγνεται υμη· τούτων τὸ ⟨ια⟩ (ιδ') · ⟨γίγνεται⟩ τνη· ⟨τούτων⟩
τὸ γ'· γίγνεται ριζ γ'. τοσούτου ἔσται τὸ στερεὸν τοῦ
τμήματος. καὶ λουτῆρα δὲ ἀκολούθως μετρήσομεν τῇ
τοῦ τμήματος μετρήσει· ἔστι γὰρ δύο τμημάτων ὑπεροχή. 15
ἀπὸ τοῦ μείζονος οὖν ἀφελόντες τὸ ἔλασσον ἀπο-
φα[ι]νούμεθα τὸ τοῦ λουτῆρος στερεόν. καὶ κόγχην δὲ
ὁμοίως μετρήσομεν ὡς ἡμισφαιρίου ἢ τμήματος ἥμισυ

1 explevi; ἀλλὰ — δοθεὶς del. m. 2 3 κύκλον: corr. m. 2
5 f. ταύτην τὴν 7 παραλαβεῖν et τῶν: corr. m. 2 12 ἐν-
δεκάκις ιδ in ras. m. 2 τῶ γ': corr. et suppl. m. 2

das durch $AB\Gamma$ bestimmte, dessen Höhe $B\Delta$ ist; und der Mittelpunkt der Kugel sei Z. Also verhält sich das Kugelsegment zu dem erwähnten Kegel wie $\Delta E + EZ : \Delta E$. Und da $A\Gamma$ gegeben ist, so ist auch $A\Delta$ gegeben, also auch $A\Delta^2$,
5 d. h. $B\Delta \times \Delta E$. Nun ist $B\Delta$ gegeben, also auch ΔE; mithin ist ganz BE gegeben. Daher auch EZ, also ist auch $\Delta E + EZ$ gegeben. Es ist aber auch ΔE gegeben. Also ist das Verhältnis des Kegels, dessen Basis der Kreis mit dem Durchmesser $A\Gamma$ und dessen Höhe $B\Delta$ ist, zu
10 dem Kugelsegment gegeben. Nun ist der Kegel gegeben; also ist auch das Kugelsegment gegeben. Die Rechnung wird nach der Analyse folgende sein:

$$\left(\frac{12}{2}\right)^2 = 36$$
$$36 : 2 = 18$$
15 $$18 + 2 = 20$$
$$\frac{20}{2} = 10$$
$$18 + 10 = 28$$
$$2 \times 2 = 4$$
$$4^2 = 16$$ [1]
20 $$16 \times 28 = 448$$
$$448 \times 14 = 352$$
$$352 : 3 = 117\frac{1}{3}.$$

So groſs wird der Körperinhalt des Segments sein.

Auch ein Badeschaff werden wir der Messung des
25 Segments entsprechend messen; denn es ist die Differenz zweier Segmente. Wenn wir nun von dem gröſseren das kleinere abgezogen haben, so werden wir den Körperinhalt des Badeschaffs angeben können. Auch eine Muschel werden wir ähnlich messen, als die Hälfte einer Halb-

---

1) Verständlicher wäre $2^2 = 4$
$4 \times 4 = 16.$

ὑπάρχουσαν. αἱ γὰρ ἐν αὐτῇ ξύσται ἐν ἀδιαφόρῳ παραλαμβάνονται εἰς τὰς μετρήσεις.

ιγ. Τῶν κωνικῶν καὶ κυλινδρικῶν καὶ σφαιρικῶν σχημάτων μεμετρημένων, ἐὰν δέῃ καὶ καμάρας ἐχούσας τὰ προειρημένα σχήματα μετρεῖν ἢ θόλους, ἀκολούθως 5 τῇ ἐπὶ τοῦ λουτῆρος μετρήσει ποιήσομεν· τῆς γὰρ ἐντὸς ἐπιφανείας κοίλης οὔσης, τουτέστι κενῆς, πάλιν fol. 95v ἔσται ἑκάστη αὐτῶν | δύο ὁμοίων τμημάτων ὑπεροχή. ἔστω δὲ σπεῖραν μετρῆσαι πρότερον ἐκθέμενον τὴν γένεσιν αὐτῆς. ἔστω γάρ τις ἐν ἐπιπέδῳ εὐθεῖα ἡ AB 10 καὶ δύο τυχόντα ἐπ' αὐτῆς σημεῖα. εἰλήφθω ὁ $B\Gamma\Delta E$ ⟨κύκλος⟩ ὀρθὸς ὢν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ AB εὐθεῖα, καὶ μένοντος τοῦ A σημείου περιφερέσθω κατὰ τὸ ἐπίπεδον ἡ AB, ἄχρι οὗ εἰς τὸ αὐτὸ ἀποκατασταθῇ συμπεριφερομένου καὶ τοῦ $B\Gamma$ 15 ΔE κύκλου ὀρθοῦ διαμένοντος πρὸς τὸ ὑποκείμενον ἐπίπεδον. ἀπογεννήσει ἄρα τινὰ ἐπιφάνειαν ἡ $B\Gamma\Delta E$ περιφέρεια, ἣν δὴ σπειρικὴν καλοῦσιν· κἂν μὴ ᾖ δὲ ὅλος ὁ κύκλος, ἀλλὰ τμῆμα αὐτοῦ, πάλιν ἀπογεννήσει τὸ τοῦ κύκλου τμῆμα σπειρικῆς ἐπιφανείας τμῆμα, 20 καθάπερ εἰσὶ καὶ αἱ ταῖς κίοσιν ὑποκείμεναι σπεῖραι· τριῶν γὰρ οὐσῶν ἐπιφανειῶν ἐν τῷ καλουμένῳ ἀναγραφεῖ, ὃν δή τινες καὶ ἐμβολέα καλοῦσιν, δύο μὲν κοίλων τῶν ἄκρων, μιᾶς δὲ μέσης καὶ κυρτῆς, ἅμα περιφερόμεναι αἱ τρεῖς ἀπογεννῶσι τὸ εἶδος τῆς τοῖς 25 κίοσιν ὑποκειμένης σπείρας. δέον οὖν ἔστω τὴν ἀπογεννηθεῖσαν σπεῖραν ὑπὸ τοῦ $B\Gamma\Delta E$ κύκλου μετρῆσαι. δεδόσθω ἡ μὲν AB μονάδων κ, ἡ δὲ $B\Gamma$ διάμετρος μονάδων ιβ. εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Z,

---

12 supplevi 22 diversus ἀναγραφεύς a Philone Byz. mech. synt. IV p. 52, 43 sq. memoratus 25 περιφερομένων: correxi

kugel oder eines Segments. Denn die Rillen an derselben werden als für die Messung unwesentlich behandelt.

XIII. Nachdem nun die kegelförmigen, cylindrischen und kugelförmigen Gebilde gemessen sind, werden wir, 5 wenn es gilt Gewölbe oder Kuppeln von der angegebenen Gestalt zu messen, es dem Meſsverfahren beim Badeschaff entsprechend machen. Denn da die innere Oberfläche derselben hohl, d. h. leer ist, so wird wiederum jede von ihnen die Differenz zweier ähnlicher Segmente sein. Es 10 sei nun eine Speira zu messen, nachdem vorher ihre Entstehung auseinandergesetzt ist.

Es sei in einer Ebene eine Gerade AB und auf ihr 2 beliebige Punkte. Nun nehme man den Kreis $B\Gamma\Delta E$,




Fig. 56.

der rechtwinklig stehe zu der vorausgesetzten Ebene, in 15 der die Gerade AB liegt, und während Punkt A festgelegt bleibt, drehe sich die Gerade AB in der Ebene, bis sie in ihre ursprüngliche Lage zurückkehrt, wobei sich der Kreis $B\Gamma\Delta E$, zu der vorausgesetzten Ebene rechtwinklig verbleibend, mitdrehen soll. Es wird also 20 die Peripherie $B\Gamma\Delta E$ eine Oberfläche erzeugen, welche man „speirisch“ nennt. Wenn es aber nicht ein vollständiger Kreis ist, sondern ein Kreisabschnitt, so wird wieder der Kreisabschnitt den Abschnitt einer speirischen Oberfläche erzeugen, wie es auch die Speiren, die als

καὶ ἀπὸ τῶν Α, Ζ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἤχθωσαν αἱ ΔΖΕ ΑΗΘ. καὶ διὰ τῶν Δ, Ε τῇ ΑΒ παράλληλοι ἤχθωσαν αἱ ΔΗ ΕΘ. δέδεικται δὲ Διονυσοδώρῳ ἐν τῷ περὶ τῆς σπείρας ἐπιγραφομένῳ, ὅτι ὃν λόγον ἔχει ὁ ΒΓΔΕ κύκλος πρὸς τὸ ἥμισυ τοῦ ΔΕΗΘ 5 παραλληλογράμμου, τοῦτον ἔχει καὶ ἡ γεννηθεῖσα σπεῖρα ὑπὸ τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸν κύλινδρον, οὗ ἄξων μέν ἐστιν ὁ ΗΘ, ἡ δὲ ἐκ τοῦ κέντρου τῆς βάσεως ἡ ΕΘ. ἐπεὶ οὖν ἡ ΒΓ μονάδων ιβ ἐστίν, ἡ ἄρα ΖΓ fol. 96r ἔσται | μονάδων ϛ. ἔστι δὲ καὶ ἡ ΑΓ μονάδων η· ἔσται 10 ἄρα ἡ ΑΖ μονάδων ιδ, τουτέστιν ἡ ΕΘ, ἥτις ἐστὶν ἐκ τοῦ κέντρου τῆς βάσεως τοῦ εἰρημένου κυλίνδρου· δοθεὶς ἄρα ἐστὶν ὁ κύκλος· ἀλλὰ καὶ ὁ ἄξων δοθείς· ἔστιν γὰρ μονάδων ιβ, ἐπεὶ καὶ ἡ ΔΕ. ὥστε δοθεὶς καὶ ὁ εἰρημένος κύλινδρος· καὶ ἔστι τὸ ΔΘ παραλληλό- 15 γραμμον <δοθέν>· ὥστε καὶ τὸ ἥμισυ αὐτοῦ. ἀλλὰ καὶ ὁ ΒΓΔΕ κύκλος· δοθεῖσα γὰρ ἡ ΓΒ διάμετρος. λόγος ἄρα τοῦ ΒΓΔΕ κύκλου πρὸς τὸ ΔΘ παραλληλόγραμμον δοθείς· ὥστε καὶ τῆς σπείρας πρὸς τὸν κύλινδρον λόγος ἔστι δοθείς. καὶ ἔστι δοθείς ὁ κύλινδρος· δοθὲν 20 ἄρα καὶ τὸ στερεὸν τῆς σπείρας. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ἄφελε ἀπὸ τῶν κ τὰ <ι>β· λοιπὰ η. καὶ πρόσθες τὰ κ· γίγνεται κη· καὶ μέτρησον κύλινδρον, οὗ ἡ μὲν διάμετρος τῆς βάσεώς ἐστι μονάδων κη, τὸ δὲ ὕψος ιβ· καὶ γίγνεται τὸ 25 στερεὸν αὐτοῦ ͵ζτϙβ. καὶ μέτρησον κύκλον, οὗ διάμετρός ἐστι μονάδων ιβ· γίγνεται τὸ ἐμβαδὸν αὐτοῦ, καθὼς ἐμάθομεν, ριγ ζ'· καὶ λαβὲ τῶν κη τὸ ἥμισυ· γίγνεται ιδ. ἐπὶ τὸ ἥμισυ τῶν ιβ· γίγνεται πδ·

---

13 κύλινδρος: corr. Heiberg 16 supplevi

Säulenbasen dienen, sind. Denn da 3 Oberflächen an dem sog. ἀναγραφεύς sind, den manche auch ἐμβολεύς nennen, 2 äufsere concave, und eine mittlere convexe, die sich gleichzeitig drehen, so erzeugen die drei die Gestalt der
5 Speira, wie sie die Säulenunterlagen haben. Es sei nun die von dem Kreis $B\Gamma\Delta E$ erzeugte Speira zu messen. Gegeben sei $AB = 20$, der Durchmesser $B\Gamma = 12$. Man nehme den Mittelpunkt des Kreises Z und ziehe von A und Z im rechten Winkel zu der vorausgesetzten Ebene
10 die Geraden ΔZE und $AH\Theta$, und durch Δ und E zu AB die Parallelen ΔH und $E\Theta$. Nun ist von Dionysodoros in der Schrift über die Speira nachgewiesen, dafs dasselbe Verhältnis, das der Kreis $B\Gamma\Delta E$ zu der Hälfte des Parallelogramms $\Delta EH\Theta$ hat, auch die von dem
15 Kreise $B\Gamma\Delta E$ erzeugte Speira zu dem Cylinder hat, dessen Axe $H\Theta$ und dessen Basisradius $E\Theta$ ist. Da nun $B\Gamma = 12$ ist, so wird $Z\Gamma = 6$ sein. Es ist aber $A\Gamma = 8$, also wird $AZ = 14$ sein, also $E\Theta = 14$, welches der Radius der Basis des bezeichneten Cylinders ist. Mithin
20 ist der Kreis gegeben. Aber auch die Axe ist gegeben; sie ist nämlich $= 12$, da so grofs auch ΔE ist. Daher ist auch der genannte Cylinder gegeben. Auch ist das Parallelogramm $\Delta\Theta$ gegeben, also auch seine Hälfte; aber auch der Kreis $B\Gamma\Delta E$, denn sein Durchmesser ΓB ist
25 gegeben. Also ist das Verhältnis des Kreises $B\Gamma\Delta E$ zu dem Parallelogramm $\Delta\Theta$ gegeben; mithin ist auch das Verhältnis der Speira zu dem Cylinder gegeben. Nun ist der Cylinder gegeben; also ist auch der Körperinhalt der Speira gegeben. Berechnet wird er, der Analyse
30 entsprechend, folgendermafsen

$$20 - 12 = 8$$
$$20 + 8 = 28.$$

Mifs einen Cylinder, dessen Basisdurchmesser $= 28$ und dessen Höhe $= 12$ ist; sein Körperinhalt ist 7392. Mifs
35 einen Kreis, dessen Durchmesser $= 12$ ist; sein Inhalt ist, wie wir lernten, $= 113\frac{1}{7}$ ·

καὶ πολλαπλασιάσας τὰ [μ̊] ͵ζτϙβ ἐπὶ τὰ ριγ ζ′· καὶ τὰ
γενόμενα παράβαλε παρὰ τὸν πδ· γίγνεται ͵θϡνϛ $\overset{\zeta'}{\delta}$.
τοσούτου ἔσται τὸ στερεὸν τῆς σπείρας. δυνατὸν δέ ἐστι
καὶ ἄλλως μετρῆσαι. ἐπεὶ γὰρ ἡ ΑΖ ἐστὶ μονάδων
ιδ, καὶ ἔστιν ἐκ τοῦ κέντρου, ἡ ἄρα διάμετρός ἐστι 5
μονάδων κη· ὥστε ἡ περιφέρεια τοῦ κύκλου γίγνεται
μονάδων πη· ἁπλωθεῖσα ἄρα ἡ σπεῖρα καὶ γενομένη
ὡς κύλινδρος ἕξει τὸ μῆκος μονάδων πη· καὶ ἔστιν
ἡ διάμετρος τῆς βάσεως τοῦ κυλίνδρου, τουτέστιν ἡ
ΒΓ, μονάδων ιβ· ὥστε τὸ στερεὸν τοῦ κυλίνδρου, ὡς 10
ἐμάθομεν, ἔσται μονάδων ͵ζτϙβ. πάλιν ͵θϡνϛ $\overset{\zeta'}{\delta}$.

fol. 96ᵛ ιδ. | Ἔστω κυλίνδρου τμῆμα μετρῆσαι τετμημένου
διὰ τοῦ κέντρου μιᾶς τῶν βάσεων· καὶ ἔστω ἡ μὲν
διάμετρος τῆς βάσεως ἡ ΑΒ μονάδων ζ, τὸ δὲ ὕψος
τοῦ τμήματος μονάδων κ· ἀποδέδειχεν Ἀρχιμήδης ἐν 15
τῷ ἐφοδικῷ, ὅτι τὸ τοιοῦτον τμῆμα ἕκτον μέρος ἐστὶ
τοῦ στερεοῦ παραλληλεπιπέδου τοῦ βάσιν μὲν ἔχοντος
τὸ περιγραφόμενον περὶ τὴν βάσιν τοῦ κυλίνδρου
τετράγωνον, ὕψος δὲ τὸ αὐτὸ τῷ τμήματι. δοθὲν δὲ
τὸ στερεὸν παραλληλεπίπεδον· δοθὲν ἄρα καὶ τὸ τμῆμα 20
τοῦ κυλίνδρου· ὅθεν δεήσει τὰ ζ ἐφ' ἑαυτὰ ποιήσαντα
πολλαπλασιάσαι ἐπὶ τὸ ὕψος, τουτέστιν ἐπὶ τὰ κ· γίγ-
νεται ϡπ· καὶ τούτων τὸ ἕκτον γίγνεται ρξγ γ′.
τοσούτου ἔσται τὸ τμῆμα τοῦ κυλίνδρου.

ιε. Ὁ δ' αὐτὸς Ἀρχιμήδης ἐν τῷ αὐτῷ βιβλίῳ δείκ- 25
νυσιν, ὅτι ἐὰν εἰς κύβον δύο κύλινδροι διωσθῶσιν
τὰς βάσεις ἔχοντες ἐφαπτομένας τῶν πλευρῶν τοῦ
κύβου, τὸ κοινὸν τμῆμα τῶν κυλίνδρων δίμοιρον ἔσται

---

1 delevi; f. *πολλαπλασίασον* 2 ͵θϡϙϛ δ′ ϛ′: correxi 8 ὡς supra lin. add. m. 1 11 ͵ζϡϙβ: correxi. ͵θϡνϛ δ′: correxi

$$\frac{28}{2} = 14$$
$$14 \times \frac{12}{2} = 84$$
$$\left(7392 \times 113\tfrac{1}{7}\right) : 84 = 9956\tfrac{4}{7}.$$

So grofs wird der Inhalt der Speira sein.

5 Man kann sie aber auch anders messen. Da nämlich $AZ = 14$ und ein Radius ist, so wird der Durchmesser $= 28$ sein. Die Peripherie des Kreises ergiebt sich daher $= 88$. Wenn also die Speira aufgerollt und gleichsam ein Cylinder wird, so wird sie die Länge 88 haben. Nun 10 ist der Durchmesser der Basis des Cylinders, d. h. $B\Gamma$, $= 12$. Daher wird der Körperinhalt des Cylinders, wie wir lernten, $= 7392$ sein. Wiederum ergiebt sich $9956\frac{4}{7}$.

XIV. Es sei ein Abschnitt eines Cylinders zu messen, der durch den Mittelpunkt einer der Basen geschnitten 15 wird (ein sog. Cylinderhuf); und es sei der Durchmesser der Basis, AB, $= 7$, die Höhe des Abschnittes $= 20$. Archimedes hat in dem ἐφοδικόν 20 nachgewiesen, dafs ein solcher Abschnitt der sechste Teil des Parallelepipedons ist, das zur Basis das der Basis des Cylinders umgeschriebene Viereck 25 und dieselbe Höhe wie der Abschnitt hat. Nun ist das Parallelepipedon gegeben; also ist auch der Abschnitt des Cylinders gegeben. Also:




Fig. 57.

30
$$7^2 \times 20 = 980$$
$$\frac{980}{6} = 163\tfrac{1}{3}.$$

So grofs wird der Abschnitt des Cylinders sein.

fol. 97r τοῦ κύβου. τοῦτο δὲ εὔχρηστον | τυγχάνει πρὸς τὰς οὕτως κατασκευαζομένας καμάρας, αἳ γίγνονται ἐπὶ πλεῖστον ἔν τε ταῖς κρήναις καὶ βαλανείοις, ὅταν αἱ εἴσοδοι ἢ τὰ φῶτα ἐκ τῶν τεσσάρων μερῶν ὑπάρχῃ· καὶ ὅπου ξύλοις οὐκ εὔθετοι στεγάζεσθαι τοὺς τόπους. 5

Ἀκόλουθον δέ ἐστι καὶ τὰς τῶν πέντε σχημάτων τῶν Πλάτωνος καλουμένων, λέγω δὴ κύβου τε καὶ πυραμίδος καὶ ὀκταέδρου, ἔτι δὲ καὶ δωδεκαέδρου καὶ εἰκοσαέδρου, τὰς μετρήσεις προσεντάξαι. ὁ μὲν οὖν κύβος φανερὰν τὴν μέτρησιν ἔχει· δεῖ γὰρ κυβίσαι 10 τὰς διδομένας τῆς πλευρᾶς αὐτοῦ μονάδας καὶ ἀποφαίνεσθαι αὐτοῦ τὸ στερεόν.

ιϛ. Ἔστω δὲ πυραμίδα μετρῆσαι, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ ⟨ἰσόπλευρον⟩ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. ἧς ἑκάστη[ς] πλευρὰ[ς] ἔστω μονάδων ιβ. 15 εἰλήφθω τὸ κέντρον τοῦ περὶ τὸ ΑΒΓ τρίγωνον κύκλου τὸ Ε· καὶ ἐπεζεύχθωσαν αἱ ΔΕ ΕΓ· τὸ ἄρα ἀπὸ τῆς ΒΓ, τουτέστι τὸ ἀπὸ τοῦ ΓΔ, τριπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΓΕ· ἡμιόλιον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΔΕ· καὶ ἔστι τὸ ἀπὸ ΓΔ μονάδων ρμδ. τὸ ἄρα 20 ἀπὸ ΔΕ ἔσται μονάδων ϙϛ· αὐτὴ δε ἡ ΔΕ ὡς ἔγγιστα μονάδων θ∟γʹ· ἐπεὶ οὖν ἑκάστη τῶν ΑΒ ΒΓ ΓΔ δέδοται, ⟨δέδοται⟩ δὲ καὶ ἡ κάθετος ἡ ΔΕ, δοθὲν ἄρα καὶ τὸ στερεὸν τῆς πυραμίδος. ὥστε δεήσει τὸ ἐμβαδὸν τοῦ ΑΒΓ ἰσοπλεύρου τριγώνου ὡς ἐμάθομεν πολλαπλα- 25 σιάσαι ἐπὶ τὰς θ∟γʹ· καὶ τῶν γιγνομένων τὸ τρίτον λαβόντα ἀποφαίνεσθαι τὸ τῆς πυραμίδος στερεόν.

fol. 97v ιζ. | Ἔστω δὲ ὀκτάεδρον μετρῆσαι, οὗ ἑκάστη πλευρά ἐστι μονάδων ζ. ἔστω τὸ εἰρημένον ὀκτάεδρον, οὗ

---

3 ἔνται ταῖς: correxi 5 f. εὐθετεῖ 6 τὰς f. delendum
23 ⟨δέδοται⟩ addidi; πρὸς add. m. 2

XV. Derselbe Archimedes weist in demselben Buche nach, daſs, wenn in einen Würfel zwei sich durchdringende Cylinder eingesetzt werden, deren Basen die Seiten des Würfels berühren, der gemeinsame Abschnitt der Cylinder
5 gleich $\frac{2}{3}$ des Würfels sein wird. Dieser Satz ist verwendbar für die in dieser Weise gebauten Gewölbe, welche meist an Quellen und Bädern vorkommen, wenn die Eingänge oder Fenster auf allen vier Seiten sind, und wo es nicht angängig ist, daſs die Orte mit Balken gedeckt
10 werden.

Das Nächste ist, daſs wir auch die Meſsmethoden der sogenannten 5 Körper des Platon, ich meine des Würfels, der Pyramide und des Oktaeders, weiter aber auch des Dodekaeders und Ikosaeders einfügen. Wie nun der
15 Würfel zu messen ist, ist klar. Man muſs nämlich die gegebenen Maſseinheiten seiner Seite in die dritte Potenz erheben und so groſs seinen Körperinhalt angeben.

XVI. Es sei aber nun eine Pyramide zu messen, deren Basis das gleichseitige Dreieck $AB\Gamma$ und deren Spitze
20 der Punkt Δ ist; jede ihrer Seiten sei $= 12$. Man nehme den Mittelpunkt des dem Dreieck $AB\Gamma$ umbeschriebenen Kreises, E, und ziehe die Verbindungslinien ΔE und $E\Gamma$. Also ist $B\Gamma^2 = \Gamma\Delta^2 = 3\,\Gamma E^2$. Also ist $\Gamma\Delta^2 = 1\frac{1}{2}\,\Delta E^2$. Nun ist $\Gamma\Delta^2 = 144$. Also $\Delta E^2 = 96$; und ΔE selbst
25 annähernd $= 9\frac{1}{2} + \frac{1}{3}$. Da nun jede der Geraden AB, ΓB, ΓA gegeben ist, aber auch die Kathete ΔE gegeben ist, so ist auch der Körperinhalt der Pyramide gegeben. Man wird daher den Inhalt des gleichseitigen Dreiecks $AB\Gamma$ multiplizieren müssen mit $9\frac{1}{2} + \frac{1}{3}$ und, nachdem
30 man von dem Produkt den dritten Teil genommen hat, so groſs den Körperinhalt der Pyramide angeben müssen.

XVII. Es sei ein Oktaeder zu messen, von dem jede Seite $= 7$. Es sei das bezeichnete Oktaeder dasjenige, dessen Winkel an den Punkten $A, B, \Gamma, \Delta, E, Z$ liegen
35 sollen. Dieses setzt sich zusammen aus zwei Pyramiden,

γωνίαι ἔστωσαν αἱ πρὸς τοῖς ΑΒΓΔΕΖ σημείοις· τοῦτο δὲ σύγκειται ἐκ δύο πυραμίδων, ὧν βάσις κοινὴ τὸ ΑΒΓΔ τετράγωνον, κορυφαὶ δὲ τὰ Ε, Ζ σημεῖα· ἑκατέρας ἄρα αὐτῶν τριπλάσιόν ἐστι τὸ στερεὸν παραλληλεπίπεδον, οὗ βάσις μέν ἐστι τὸ ΑΒΓΔ, ὕψος 5 δὲ τὸ ἥμισυ τῆς ΕΖ· ὥστε ὅλου τοῦ ὀκταέδρου τριπλάσιόν ἐστι τὸ στερεὸν παραλληλεπίπεδον, οὗ βάσις μὲν τὸ ΑΒΓΔ τετράγωνον, ὕψος δὲ ἡ ΕΖ διάμετρος. ἐπεὶ οὖν ἐστι τὸ ἀπὸ τῆς ΕΑ μονάδων μθ, τὸ ἄρα ἀπὸ τῆς ΕΖ ἔσται ϙη· ἡ ἄρα ΕΖ ὡς ἔγγιστα ἔσται 10 μονάδων ι. ἐπεὶ οὖν ἡ ΑΒ ἐστὶ μονάδων ζ, τὸ ἄρα ΑΒΓΔ τετράγωνον ἔσται μονάδων μθ· καὶ ἔστιν ἡ ΕΖ ὕψος τοῦ στερεοῦ· τὸ ἄρα στερεὸν παραλληλεπίπεδον ἔσται μονάδων υϙ· καὶ ἔστι τριπλάσιον τοῦ ὀκταέδρου· τὸ ἄρα ὀκτάεδρον ἔσται ρξγ γ′· τοσούτου 15 ἔσται τὸ στερεόν.

ιη. Ἔστω εἰκοσάεδρον ⟨μετρῆσαι⟩, οὗ ἑκάστη τῶν πλευρῶν ἔστω μονάδων ι. ἐπεὶ οὖν τὸ εἰκοσάεδρον ὑπὸ εἴκοσι τριγώνων ἰσοπλεύρων περιέχεται, νενοήσθωσαν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας ἐπιζευγμέναι 20 fol. 98r ⟨εὐθεῖαι⟩ ἐπὶ τὰς τῶν τριγώνων γωνίας· ἔ|σονται ἄρα εἴκοσι πυραμίδες ἴσαι βάσεις μὲν ἔχουσαι τὰ τοῦ εἰκοσαέδρου τρίγωνα, κορυφὰς δὲ τὸ κέντρον τῆς σφαίρας· καὶ μία αὐτῶν ⟨νε⟩νοήσθω, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον, καὶ εἰλήφθω 25 τὸ κέντρον τοῦ περὶ τὸ ΑΒΓ τρίγωνον κύκλου τὸ Ε. καὶ ἐπεζεύχθω ἡ ΔΕ· ἐπεὶ οὖν ἡ τοῦ εἰκοσαέδρου πλευρὰ πρὸς τὴν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας κάθετον ἀγομένην ἐπὶ ἓν τῶν τοῦ εἰκοσαέδρου τριγώνων λόγον ἔχει, ⟨ὃν⟩ τὰ ρκζ πρὸς τὰ ϙγ, καὶ ἔστιν ἡ 30 τοῦ εἰκοσαέδρου πλευρὰ μονάδων υ, ἔσται ἄρα ἡ

deren gemeinschaftliche Basis das Quadrat $AB\Gamma\Delta$, und deren Spitzen die Punkte E und Z sind. Also ist dreimal so groſs als jede dieser beiden das Parallelepipedon, dessen Basis $AB\Gamma\Delta$ und dessen Höhe $\frac{EZ}{2}$ ist. Daher ist dreimal so groſs als das ganze Oktaeder das Parallelepipedon, dessen Basis das Quadrat $AB\Gamma\Delta$ und dessen Höhe der Durchmesser EZ ist. Da nun $EA^2 = 49$ ist, so wird $EZ^2 = 98$ sein. Also wird EZ annähernd $= 10$ sein. Da nun $AB = 7$, so wird das Quadrat $AB\Gamma\Delta = 49$ sein. Nun ist EZ die Höhe des Körpers; das Parallelepipedon wird also $= 490$ sein. Nun ist es dreimal so groſs als das Oktaeder; das Oktaeder wird also $= 163\frac{1}{3}$ sein. So groſs wird sein Körperinhalt sein.




Fig. 58.

XVIII. Es sei ein Ikosaeder zu messen, von dem jede Seite $= 10$ sei. Da nun das Ikosaeder von 20 gleichseitigen Dreiecken umschlossen wird, denke man sich Verbindungslinien vom Mittelpunkt der Kugel zu den Dreieckswinkeln gezogen; es werden also 20 gleiche Pyramiden entstehen, die zu Basen die Dreiecksflächen des Isokaeders und zur Spitze den Mittelpunkt der Kugel haben. Nun denke man sich eine derselben, deren Basis das Dreieck $AB\Gamma$ und deren Spitze der Punkt Δ ist. Und man bestimme den Mittelpunkt des dem Dreieck $AB\Gamma$ umgeschriebenen Kreises, und ziehe die Verbindungslinie ΔE. Da nun die Seite des Ikosaeders zu der Höhe vom Mittelpunkt der Kugel auf eine der Dreiecksflächen des Ikosaeders $= 127 : 93$ ist und die Seite des Ikosa-

3 κορυφή: correxi 6 τὸ πρὸς τῶν EZ: sustuli errorem ex compendiorum similitudine ortum 17 supplevi 24 correxi 30 supplevi

ΔΕ κάθετος μονάδων ζ καὶ ρκζ' *μα. ἐπεὶ οὖν τοῦ ΑΒΓ τριγώνου ἑκάστη πλευρὰ δοθεῖσά ἐστιν καὶ ἡ ΔΕ δὲ κάθετος, δοθεῖσα ἄρα καὶ ἡ πυραμίς, ἧς βάσις μέν ἐστι τὸ ΑΒΓ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἔστιν εἰκοστὸν μέρος τοῦ εἰκοσαέδρου· δοθὲν ἄρα ἐστὶ καὶ τὸ εἰκοσάεδρον. δεήσει ἄρα τὰ ι ἐπὶ τὰ ϙγ ποιῆσαι καὶ τῶν γενομένων λαβεῖν τὸ ρκζ' καὶ ἔχειν τὴν τῆς πυραμίδος*




Fig. 59.

κάθετον· καὶ λαβόντα τὸ ἐμβαδὸν τοῦ ΑΒΓ τριγώνου ἰσοπλεύρου καὶ εἰκοσάκι ποιήσαντα πολλαπλασιάσαι ἐπὶ τὴν εἰρημένην κάθετον· καὶ τῶν γενομένων τὸ τρίτον λαβόντα ἀποφαίνεσθαι τὸ τοῦ εἰκοσαέδρου στερεόν. 20

ιθ. Ἔστω δὴ δωδεκάεδρον μετρῆσαι, οὗ ἑκάστη πλευρά ἐστι μονάδων ι. πάλιν οὖν, ἐὰν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας νοήσωμεν ἐπιζευγμένας εὐθείας ἐπὶ τὰς τοῦ πενταγώνου γωνίας, ἔσονται ιβ πυραμίδες fol. 98ᵛ *πενταγώ|νους βάσεις ἔχουσαι, κορυφὰς δὲ τὸ κέντρον* 25 *τῆς σφαίρας· λόγον δὲ ἔχει ἡ τοῦ πενταγώνου πλευρὰ πρὸς τὴν ἀπὸ τοῦ κέντρου τῆς σφαίρας κάθετον ἀγομένην ἐπὶ ἓν τῶν πενταγώνων, ὃν τὰ η πρὸς τὰ θ· καὶ ἔστιν ἡ τοῦ πενταγώνου πλευρὰ μονάδων ι· ἡ ἄρα*

1 *ρκζ μα*: correxi   28 *ὧν*: correxi

eders = 10 ist, so wird die Höhe $\Delta E = 7 + \frac{41}{127}$. Da nun jede Seite des Dreiecks $AB\Gamma$ und auch die Höhe ΔE gegeben ist, so ist auch die Pyramide gegeben, deren Basis das Dreieck $AB\Gamma$ und deren Spitze der Punkt Δ 5 ist, und sie ist der zwanzigste Teil des Ikosaeders. Also ist auch das Ikosaeder gegeben. Man wird also 10×93 ausrechnen und von dem Produkt $\frac{1}{127}$ nehmen müssen und damit die Höhe der Pyramide haben. Dann wird man den Inhalt des gleichseitigen Dreiecks $AB\Gamma$ bestimmen, 10 zwanzigmal nehmen und mit der genannten Höhe multiplizieren müssen, und nachdem man von dem Produkt den dritten Teil genommen hat, den Körperinhalt des Ikosaeders angeben können.

XIX. Es sei nun ein Dodekaeder zu messen, von dem 15 jede Seite = 10 ist. Wenn wir nun wieder vom Mittelpunkt der Kugel Verbindungslinien zu den Winkeln der Fünfecke gezogen denken, so werden 12 Pyramiden entstehen, die fünfeckige Basen haben und 20 zur Spitze den Mittelpunkt der Kugel. Es verhält sich aber die Seite des Fünfecks zu der Höhe vom Mittelpunkt der Kugel auf eines der Fünfecke 25 = 8 : 9. Nun ist die Seite des Fünfecks = 10. Die genannte Höhe wird also = $11\frac{1}{4}$ sein. Wenn wir nun wiederum den Inhalt des Fünfecks be- 30 stimmen und mit der Kathete multiplizieren und dann von dem Produkt $\frac{1}{3}$ nehmen, so werden wir den Körperinhalt einer Pyramide haben. Nehmen wir diesen zwölfmal, so werden wir den Körperinhalt des 35 Dodekaeders erhalten.




Fig. 60.

εἰρημένη κάθετος ἔσται μονάδων ια δ΄. πάλιν οὖν τὸ ἐμβαδὸν τοῦ πενταγώνου λαβόντες καὶ πολλαπλασιάσαντες ἐπὶ τὴν κάθετον καὶ τῶν γενομένων τὸ τρίτον λαβόντες ἕξομεν μιᾶς πυραμίδος τὸ στερεόν· ὃ δωδεκάκι ποιήσαντες ἕξομεν τὸ τοῦ δωδεκαέδρου στερεόν. 5

κ. Τῶν δὴ ἐν τάξει στερεῶν σωμάτων μετρηθέντων εὔλογον ὑπολαμβάνομεν καὶ τὰ ἄτακτα, οἷον ῥιζώδη ἢ πετρώδη, παριστορῆσαι τῇ μετρήσει, ὡς ἔνιοι ἱστοροῦσι τὸν Ἀρχιμήδη ἐπινενοηκέναι πρὸς τὰ τοιαῦτα μέθοδον. εἰ μὲν γὰρ εὐμετάφορον εἴη τὸ μέλλον μετρεῖσθαι, 10 δεήσει δεξαμενὴ⟨ν⟩ πάντη ὀρθογωνίαν ποιήσαντα δυναμένην δέξασθαι, ὃ βουλόμεθα μετρηθῆναι, πληρῶσαι ὕδατος καὶ ἐμβαλεῖν τὸ ἄτακτον σῶμα. δῆλον δὴ οὖν, ὅτι ὑπερχυθήσεται τὸ ὕδωρ καὶ τοσοῦτόν γε, ὅσος ἐστὶν ὁ τοῦ ἐμβληθέντος σώματος εἰς τὸ ὕδωρ ὄγκος, 15 ἐξαρθέντος τοῦ σώματος πάλιν ἐκ τῆς δεξαμενῆς ἐλλιπὲς ἔσται. μετρήσαντες οὖν τὸν ἐκκεκενωμένον τόπον fol. 99ʳ ἀποφανούμεθα τοσούτου | εἶναι τὸ στερεὸν τοῦ ἐμβληθέντος σώματος. ἢ καὶ ἄλλως δυνατόν ἐστι τὸ αὐτὸ μετρῆσαι· ἐὰν γὰρ προσπλασθῇ τὸ ἄτακτον σῶμα 20 κηρῷ ἢ πηλῷ, ὥστε γενέσθαι ἀποκρυβὲν πάντη ὀρθογώνιον, καὶ τοῦτο μετρήσαντες ἀφέλωμεν τὸν πηλὸν καὶ ὀρθογώνιον πλάσαντες ἐκμετρήσωμεν καὶ ἀφέλωμεν ἀπὸ τοῦ πρότερον μετρηθέντος τὸ καταλειπόμενον, ἀποφανούμεθα τὸ τοῦ σώματος στερεόν· τῇ δὲ τοῦ 25 περιπλάσματος μεθόδῳ χρῆσθαι δεῖ ἐπὶ τῶν μὴ δυναμένων μετατίθεσθαι σωμάτων.

---

1 ιδ δ΄: correxi 11 δεξαμένη: correxi 15 οἷον: correxi σώματος ex ὕδατος fec. m. 1 17 ἐλλιπής: correxi 20 f. περιπλασθῇ 22 ἀφέλομεν: correxi 27 Ἥρωνος Ἀλεξανδρέως μέτρησις στερεῶν subscripsit m. 1

XX. Nachdem die bestimmten Körper gemessen sind. halten wir für angemessen auch die unbestimmten, wie z. B. Wurzeln oder Felsstücke, in der Vermessungskunde beiläufig zu erwähnen, da einige berichten, daſs Archi-
5 medes für derartige eine Methode ausgedacht habe. Wenn nämlich der zu messende Körper leicht transportabel sein sollte, so wird man eine durchgängig rechtwinklige Wanne, die das, was wir gemessen zu haben wünschen, aufzunehmen vermag, herrichten und mit Wasser füllen und den unbe-
10 stimmten Körper hineinwerfen müssen. Es ist nun klar, daſs das Wasser überflieſsen wird und zwar wird soviel davon, als das Volumen des in das Wasser geworfenen Körpers beträgt, fehlen, wenn der Körper wieder aus der Wanne herausgenommen wird. Messen wir nun den leer
15 gewordenen Raum, so werden wir den Körperinhalt des hineingeworfenen Körpers so groſs anzugeben haben. Oder man kann dieselbe Messung auch auf andere Weise vornehmen. Denn wenn der unbestimmte Körper mit Wachs oder Lehm bestrichen wird, sodaſs er, wenn er eingehüllt
20 ist, durchgängig rechtwinklig ist und wir ihn in dieser Gestalt messen, dann den Lehm abnehmen, in rechtwinklige Form kneten und ausmessen, und dann von dem zuerst gemessenen den Rest abziehen, so werden wir den Inhalt des Körpers angeben können. Diese Einhüllungsmethode
25 muſs man bei den nicht transportabeln Körpern anwenden.

ΗΡΩΝΟΣ ΜΕΤΡΙΚΩΝ Γ

ΠΡΟΟΙΜΙΟΝ

fol. 99ʳ | *Οὐ πολὺ ἀπᾴδειν νομίζομεν τὰς τῶν χωρίων διαιρέσεις τῶν γιγνομένων ἐν τοῖς χωρίοις μετρήσεων· καὶ γὰρ τὸ ἀπονεῖμαι χωρίον τοῖς ἴσοις ἴσον* 5 *καὶ τὸ πλέον τοῖς ἀξίοις κατὰ τὴν ἀναλογίαν πάνυ εὔχρηστον καὶ ἀναγκαῖον θεωρεῖται. ἤδη γοῦν καὶ ἡ σύμπασα γῆ διῄρηται κατ' ἀξίαν ὑπ' αὐτῆς τῆς φύσεως· νέμεται γὰρ κατ' αὐτὴν ἔθνη μέγιστα μεγάλην λελογχότα χώραν, ἔνια δὲ καὶ ὀλίγην μικρὰ καθ'* 10 *αὑτὰ ὑπάρχοντα· οὐχ ἧττον δὲ καὶ κατὰ μίαν αἱ πόλεις κατ' ἀξίαν διῄρηνται· τοῖς μὲν ἡγεμόσι καὶ τοῖς ἄλλοις τοῖς ἄρχειν δυναμένοις μείζω καὶ κατὰ ἀναλογίαν, τοῖς δὲ μηδὲν τοιοῦτο δυναμένοις δρᾶν μικροὶ κατελείφθησαν τόποι, κῶμαί τε τοῖς μικροψυχοτέροις* 15 *καὶ ἐποίκια καὶ ὅσα τοιαῦτά ἐστιν· ἀλλὰ τὰ μὲν παχυμερεστέραν πως καὶ ἀργοτέραν εἴληφε τὴν ἀναλογίαν· εἰ δέ τις βούλοιτο κατὰ τὸν δοθέντα λόγον διαιρεῖν τὰ χωρία, ὥστε μηδὲ ὡς εἰπεῖν κέγχρον μίαν τῆς ἀναλογίας ὑπερβάλλειν ἢ ἐλλείπειν τοῦ δοθέντος* 20 *λόγου, μόνης προσδεήσεται γεωμετρίας· ἐν ᾗ ἐφαρμογὴ μὲν ἴση, τῇ δὲ ἀναλογίᾳ δικαιοσύνη, ἡ δὲ περὶ*

---

1 titulum supplevi 5 *χωρίων*: correxi 12 f. *μὲν* ⟨*γὰρ*⟩
13 *καὶ* f. delendum 17 *παχυμερέστερον*: correxi

VERMESSUNGSLEHRE VON HERON VON ALEXANDRIA.

DRITTES BUCH.

TEILUNG VON FLÄCHEN UND KÖRPERN.

5 Die Teilungen von Raumgebilden unterscheiden sich nach unserem Dafürhalten nicht erheblich von den Messungen, die an den Raumgebilden vorgenommen werden. Denn das Geschäft, den Gleichberechtigten die gleiche Fläche Landes zuzuweisen und denen, die es wert sind, 10 im Verhältnis mehr, wird als ein sehr nützliches und notwendiges angesehen. Ist doch auch die gesamte Erde schon von der Natur selbst nach Verdienst eingeteilt worden. Denn es wohnen auf ihr sehr große Völker, denen ein großes Stück Land zugefallen ist; manchen da- 15 gegen nur ein kleines, weil sie an sich nur klein sind. Ebenso sind auch die einzelnen Staatsgebiete nach Verdienst geteilt: den leitenden Männern und den übrigen, die zu regieren vermögen, wurden größere Stücke und zwar nach Verhältnis zu Teil; denen dagegen, die nichts 20 der Art zu leisten vermochten, wurden nur kleine Plätze übrig gelassen und den Schwächeren Dörfer und einzelne Gehöfte und was es sonst von dieser Art giebt. Aber dies ist gewissermaßen nur im Groben und mühelos in ein Verhältnis gebracht. Wenn dagegen jemand Raum- 25 gebilde nach einem gegebenen Verhältnis so teilen möchte, daß sozusagen auch nicht eine Kleinigkeit des Verhältnisses überschießt über das gegebene Verhältnis oder dahinter zurückbleibt, so wird er dazu der Geometrie bedürfen, in der gleichmäßige Anwendbarkeit vorhanden ist

Vorrede

τούτων ἀπόδειξις ἀναμφισβήτητος, ὅπερ τῶν ἄλλων τεχνῶν ἢ ἐπιστημῶν οὐδεμία ὑπισχνεῖται.

α. Χωρίον τρίγωνον διελεῖν εἰς τρίγωνα χωρία ἐν τῷ δοθέντι λόγῳ τὴν αὐτὴν ἔχοντα κορυφήν. ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονά- 5 δων ιγ, τὴν δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΑΓ μονάδων ιε· καὶ δέον ἔστω διελεῖν αὐτὸ εἰς δύο χωρία τρίγωνα λόγον ἔχοντα πρὸς ἄλληλα, ὃν ε πρὸς γ, κορυφὴν δὲ τὸ Α. γεγονέτω καὶ ἔστω ἡ διαιροῦσα εὐθεῖα ἡ ΑΔ· 10 λόγος ἄρα τοῦ ΑΒΔ τριγώνου πρὸς τὸ ΑΔΓ τρίγωνον, ⟨ὃν⟩ ε 15 πρὸς γ· καὶ συνθέντι λόγος ἄρα τοῦ ΑΒΓ τριγώνου πρὸς τὸ ΑΔΓ τρί- 20




Fig. 61.

fol. 100ʳ γωνον, ὃν η πρὸς γ. καὶ ἔστιν | ἡ ΒΓ μονάδων ιδ· ἡ ἄρα ΓΔ ἔσται μονάδων ε δ'. λοιπὴ ἄρα ἡ ΒΔ μονάδων η∟δ'. κἂν ἐπιζεύξωμεν τὴν ΑΔ, ἔσται γεγονὸς τὸ προκείμενον· τὸ μὲν γὰρ τοῦ ΑΒΔ τριγώνου ἐμβαδὸν εὑρήσομεν μονάδων νβ∟, τὸ δὲ τοῦ ΑΔΓ τριγώνου 25 μονάδων λα∟. ἔχει δὲ τὰ νβ∟ πρὸς τὰ λα∟ λόγον, ὃν ἔχει τὰ ε πρὸς τὰ γ.

β. Τὸ δοθὲν τρίγωνον εἰς τὸν δοθέντα λόγον διελεῖν εὐθείᾳ τινὶ παραλλήλῳ τῇ βάσει. ἔστω τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονάδων ιγ, τὴν 30 δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΑΓ μονάδων ιε. καὶ

und durch die Durchführung eines Verhältnisses Gerechtigkeit geschaffen wird, der Beweis aber über diese Dinge unbestreitbar ist, was von den übrigen Künsten oder Fertigkeiten keine in Aussicht stellen kann.

I. Eine dreieckige Fläche in gegebenem Verhältnis in dreieckige Flächen zu zerlegen, welche dieselbe Spitze haben. Es sei $AB\Gamma$ das gegebene Dreieck und $AB = 13$, $B\Gamma = 14$, $A\Gamma = 15$. Die Aufgabe sei, es in zwei dreieckige Flächen zu zerlegen, die sich zu einander wie 5 : 3 verhalten und die Spitze A haben. Es sei geschehen und die teilende Gerade sei $A\Delta$. Also ist Dreieck $AB\Delta$: Dreieck $A\Delta\Gamma = 5 : 3$. Also Dreick $AB\Gamma$: Dreieck $A\Delta\Gamma = 8 : 3$. Nun ist $B\Gamma = 14$; also wird $\Gamma\Delta = 5\frac{1}{4}$ sein; also $B\Delta = 8\frac{1}{2} + \frac{1}{4}$, und wenn wir die Verbindungsline $A\Delta$ ziehen, so wird die Aufgabe gelöst. Denn als Inhalt des Dreiecks $AB\Delta$ werden wir $52\frac{1}{2}$, als Inhalt des Dreiecks $A\Delta\Gamma$ aber $31\frac{1}{2}$ erhalten. Es ist aber $52\frac{1}{2} : 31\frac{1}{2} = 5 : 3$.

II. Ein gegebenes Dreieck in einem gegebenen Verhältnis durch eine der Basis parallele Gerade zu teilen. Das Dreieck sei $AB\Gamma$, in dem

$$AB = 13,$$
$$B\Gamma = 14,$$
$$A\Gamma = 15,$$

und die Aufgabe sei, es so zu teilen, daſs das Dreieck an der Spitze 3 mal so groſs ist als das übrigbleibende Trapez. Die teilende Gerade sei ΔE. Also ist Dreieck $A\Delta E$ dreimal so groſs als das Trapez $\Delta E\Gamma B$. Also

Fig. 62a.

7 *δέον ἐστι*: corr. m. 2   8 *ὁ μὲν ε*: corr. m. 2   15 ⟨*ὂν*⟩ inserui

δέον ἔστω αὐτὸ διελεῖν, ὥστε τὸ πρὸς τῇ κορυφῇ τρίγωνον τριπλάσιον εἶναι τοῦ λοιποῦ τραπεζίου. ἔστω ἡ διαιροῦσα εὐθεῖα ἡ ΔΕ· τριπλάσιον ἄρα ἐστὶ τὸ ΑΔΕ τρίγωνον τοῦ ΔΕΓΒ τραπεζίου· τὸ ἄρα ΑΒΓ τρίγωνον [ὃν] πρὸς τὸ ΑΔΕ τρίγωνον λόγον ἔχει, ὃν δ πρὸς γ. ὡς δὲ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ τρίγωνον, οὕτως τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον [ὃν] πρὸς τὸ ἀπὸ τῆς ΔΑ διὰ τὸ ὅμοια εἶναι τὰ τρίγωνα. καὶ ἔστι τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον μονάδων ρξ⟨θ· τὸ ἄρα ἀπὸ τῆς ΑΔ τετράγωνον μονάδων ρκ⟩ϛ∟δ'· αὐτὴ ἄρα ἡ ΑΔ ἔσται ὡς ἔγγιστα μονάδων ια δ'. ὥστε ἐὰν ἀπολάβωμεν τὴν ΑΔ μονάδων ια δ' καὶ παράλληλον ἀγάγωμεν τὴν ΔΕ, ἔσται τὸ προκείμενον. ἵνα δὲ μὴ παράλληλον ἄγωμεν, ἐπειδήπερ ἐν τοῖς χωρίοις δύσεργον ὑπάρχει τὸ τοιοῦτον διὰ τὴν τῶν τόπων ἀνωμαλίαν, ἀποληψόμεθα καὶ τὴν ΑΕ μονάδων ὅσων ἂν ᾖ. ἔστιν δέ, ἐὰν ποιήσωμεν ὡς τὴν ΑΒ πρὸς ΑΓ, τουτέστιν ὡς τὰ ιγ πρὸς ιε, οὕτως τὴν ΑΔ, τουτέστιν ια δ', πρὸς ἄλλην τινά· τουτέστι τὴν ΑΕ. ἔσται μονάδων ιβ ⟨$\overset{\nu\beta'}{\nu\alpha}$⟩.

fol. 100v | *τοσούτου ἔσται ἡ ΑΕ. ἐπιζεύξαντες οὖν τὴν ΔΕ ἕξομεν τὴν διαιροῦσαν τὸ χωρίον. ἡ δὲ μέθοδος ἔσται τοιαύτη· ἐπεὶ ὁ λόγος, ἐν ᾧ διαιρεῖται, ἔστι γ πρὸς α, σύνθες γ καὶ α· γίγνεται δ. καὶ τὰ ιγ ἐφ' ἑαυτά· γίγνεται ρξθ. ταῦτα ἐπὶ τὸν γ· γίγνεται φζ. παράβαλε παρὰ τὸν δ· γίγνεται ρκϛ∟δ'. τούτων πλευρὰ γίγνεται ὡς ἔγγιστα ια δ'. ταῦτα ἐπὶ τὸν ιε· γίγνεται ρξη∟δ'. ταῦτα παράβαλε παρὰ τὸν ιγ· γίγνεται ιβ καὶ $\overset{\nu\beta'}{\nu\alpha}$. τοσούτου ἀπέλαβε τὴν ΑΕ καὶ ἐπίζευξον τὴν ΔΕ.*

Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = 4 : 3$. Nun ist aber Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = BA^2 : \Delta A^2$, weil die Dreiecke ähnlich sind. Und BA^2 ist $= 169$, also $A\Delta^2 = 126\frac{1}{2} + \frac{1}{4}$. Also wird $A\Delta$ selbst annähernd $= 11\frac{1}{4}$ sein. Wenn wir 5 daher $A\Delta = 11\frac{1}{4}$ abtragen und die Parallele ΔE ziehen, so wird die Aufgabe gelöst sein. Um aber keine Parallele ziehen zu müssen, da dies im Terrain wegen der Ungleichmäfsigkeit des Bodens schwierig ist, so werden 10 wir auch AE so grofs, als es ist, abtragen. Es ergiebt sich aber, 15 wenn wir folgende Berechnung machen:




Fig. 62 b.

$AB : A\Gamma = 13 : 15 = A\Delta : x = 11\frac{1}{4} : AE$. $AE = 12\frac{51}{52}$. So grofs wird AE sein. Ziehen wir nun die Verbindungs- 20 linie ΔE, so werden wir die Teilungslinie haben. Die Methode ist folgende: da das Verhältnis, in dem geteilt wird, $3 : 1$ ist, so nimm $3 + 1 = 4$

$$13^2 = 169$$
$$169 \times 3 = 507$$
$$\frac{507}{4} = 126\frac{1}{2} + \frac{1}{4} \quad (25)$$
$$\sqrt{126\frac{1}{2} + \frac{1}{4}} \text{ annähernd} = 11\frac{1}{4}$$
$$11\frac{1}{4} \times 15 = 168\frac{1}{2} + \frac{1}{4}$$
$$\frac{168\frac{1}{2} + \frac{1}{4}}{13} = 12\frac{51}{52}.$$

So grofs trage AE ab und ziehe die Verbindungslinie ΔE.

---

1 εἴς τε τὸ: corr. m. 2 5 [ὂν] delevi 8 [ὂν] delevi 10 ρξϛ∠δ′: lacunam explevi; ϑ supra scr. m. 2 13 αι δ′: correxi 18 πρὸς $A\Gamma$: $B\Gamma$ suprascr. m. 2 perperam 19 ιε: ιδ suprascr. m. 2 perperam 20 ΔE: correxi ιβ νβ′: correxi 27 ἐπὶ τῶν: correxi 29 να (δ ιβ suprascr.): correxi 29—30 ἐπίζευξον τὴν AE: correxi

γ. Ἔστω δὴ τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ ἔχον τὴν μὲν ΑΒ μονάδων ιγ, τὴν δὲ ΒΓ μονάδων ιδ, τὴν δὲ ΓΑ μονάδων ιε. καὶ ἀπειλήφθω ἡ ΑΔ, εἰ τύχοι, μονάδων ιβ. καὶ δέον ἔστω ἀπὸ τοῦ Δ διαγαγεῖν τὴν ΔΕ διαιροῦσαν τὸ ΑΒΓ τρίγωνον ἐν λόγῳ τῷ δοθέντι. ἔστω δὴ ὁ λόγος, ὃν ἔχει τὰ ε πρὸς τὰ β. ἤχθωσαν ἀπὸ τῶν Β, Δ ἐπὶ τὴν ΑΓ κάθετον αἱ ΒΖ ΔΗ. ἔσται δὴ ἡ ΒΖ κάθετος, ὡς ἐμάθομεν, μονάδων ια ε'. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΑ πρὸς ΑΔ, τουτέστιν ὡς ιγ πρὸς ιβ, οὕτως ἡ ΒΖ πρὸς ΔΗ, καὶ ἔστιν ἡ ΒΖ ια ε', ἡ ἄρα ΔΗ ἔσται μονάδων ι καὶ $\overset{ξε'}{κβ}$. καὶ ἐπεὶ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΔΕ λόγον ἔχει, ὃν ε πρὸς γ, καὶ ἔστι τὸ ΑΒΓ τρίγωνον μονάδων πδ, τὸ ἄρα ΑΔΕ τρίγωνον ἔσται μονάδων ν καὶ $\overset{ε'}{β}$. τοῦ δὲ ΑΔΕ τριγώνου διπλάσιόν ἐστι τὸ ὑπὸ τῶν ΑΕ ΔΗ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ ΔΗ ἔσται μονάδων ρ καὶ $\overset{ε'}{δ}$. καὶ ἔστιν ἡ ΔΗ μονάδων ι καὶ $\overset{ξε'}{κβ}$· ἡ ἄρα ΑΕ ἔσται μονάδων θ∟δ'. κἂν ἐπιζεύξωμεν τὴν ΔΕ, ἔσται τὸ προκείμενον. ἔστι δὲ ἡ μέθοδος τοιαύτη· ἐπεὶ ἡ ΒΖ κάθετός ἐστιν, ια ε' ἐπὶ τὰ ιβ· fol. 101r | καὶ τὰ γενόμενα μέρισον εἰς τὸν ι⟨γ· γίνο⟩νται μονάδες ι καὶ $\overset{ξε'}{κβ}$. καὶ ἐπεὶ λόγος, ἐν ᾧ διαιρεῖται, ὁ τῶν γ ⟨πρὸς⟩ τὰ β, σύνθες γ καὶ β· γίγνεται ε· καὶ πολλαπλασίασον τὸν γ ἐπὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου, τουτέστιν ἐπὶ τὰ πδ· γίγνεται σνβ. ταῦτα μέρισον εἰς τὸν ε· γίγνεται νβ ε'. ταῦτα δίς· γίγνεται ρ καὶ $\overset{ε}{δ}$. μέρισον ταῦτα παρὰ τὸν ι καὶ $\overset{ξε'}{κβ}$· γίγνονται μονάδες

III. Das gegebene Dreieck sei $AB\Gamma$, in dem $AB = 13$, $B\Gamma = 14$, $\Gamma A = 15$ seien. Es werde $A\Delta$ beispielsweise $= 12$ abgetragen und die Aufgabe sei, von Δ die Gerade ΔE zu konstruieren, die das Dreieck $AB\Gamma$ in einem gegebenen Verhältnis teilt. Das Verhältnis sei $3:2$, Man ziehe von den Punkten B und Δ auf $A\Gamma$ die Senkrechten BZ und ΔH. Es wird nun die Höhe BZ, wie wir lernten, $= 11\frac{1}{5}$ sein. Und da $BA : A\Delta = 13:12 = BZ:\Delta H$ ist und $BZ = 11\frac{1}{5}$ ist, so wird $\Delta H = 10\frac{22}{65}$ sein. Und da Dreieck $AB\Gamma$: Dreieck $A\Delta E = 5:3$ und Dreieck $AB\Gamma = 84$ ist, so wird Dreieck $A\Delta E = 50\frac{2}{5}$ sein. Es ist aber $2 \times$ Dreieck $A\Delta E = AE \times \Delta H$; also $AE \times \Delta H = 100\frac{4}{5}$. Nun ist $\Delta H = 10\frac{22}{65}$; also wird $AE = 9\frac{1}{2} + \frac{1}{4}$ sein. Und wenn wir die Verbindungslinie ΔE ziehen, so wird die Aufgabe gelöst sein. Die Methode ist folgende:




Fig. 63.

$$\frac{11\frac{1}{5} \times 12}{13} = 10\frac{22}{65}.$$

Und, da das Verhältnis, in dem geteilt wird, $3:2$ ist:

$$3 + 2 = 5$$
$$3 \times 84 = 252$$
$$\frac{252}{5} = 50\frac{2}{5}$$
$$2 \times 50\frac{2}{5} = 100\frac{4}{5}$$
$$100\frac{4}{5} : 10\frac{22}{56} = 9\frac{1}{2} + \frac{1}{4}.$$

21 post ι 5 litterae evanidae: supplevi 23 post γ 4 litterae evanidae: supplevi

θ∟δ'. τοσούτου ἀπολαβὼν τὴν ΑΕ ἐπίζευξον τὴν ΔΕ· καὶ ἔσται τὸ προκείμενον.

δ. Τριγώνου δοθέντος τοῦ ΑΒΓ ἀφελεῖν ἀπ' αὐτοῦ τρίγωνον τὸ ΔΕΖ δοθὲν τῷ μεγέθει, ὥστε τὰ καταλειπόμενα τρίγωνα τὰ ΑΔΕ ΒΔΖ ΓΕΖ ἴσα εἶναι 5 ἀλλήλοις. ἐὰν δὴ τμηθῶσιν ⟨αἱ ΑΒ, ΒΓ, ΓΑ τοῖς Δ, Ζ, Ε⟩, ὥστε εἶναι ὡς τὴν ΑΔ πρὸς τὴν ΔΒ, οὕτως τὴν ΒΖ πρὸς ΖΓ καὶ τὴν ΓΕ πρὸς ΕΑ, ἔσται τὰ ΑΔΕ ΒΔΖ ΖΓΕ τρίγωνα ἴσα ἀλλήλοις. ἐπεζεύχθω οὖν ἡ ΑΖ· καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΖ πρὸς 10 ΖΓ, ἡ ΓΕ πρὸς τὴν ΕΑ, καὶ συνθέντι ἄρα ὡς ἡ ΒΓ πρὸς ΓΖ, ἡ ΓΑ πρὸς ΑΕ· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΖΓ, οὕτως τὸ ΑΖΓ πρὸς τὸ ΑΖΕ· καὶ ἀναστρέψαντι ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΒΖ, οὕτω τὸ ΑΖΓ πρὸς τὸ ΕΓΖ, ὅ ἐστι δοθέν. 15 δοθὲν δὲ καὶ τὸ ΑΒΓ· δοθὲν ἄρα τὸ ἐμβαδὸν τοῦ ΑΒΓ ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΖΕΓ, ὅ ἐστι δοθέν. καὶ ἴσον ἐστὶ τῷ ἐμβαδῷ τοῦ ΑΒΖ τριγώνου ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΑΖΓ· δοθὲν ἄρα καὶ τὸ ἐμβαδὸν τοῦ ΑΒΖ ἐπὶ τὸ ἐμβαδὸν τοῦ ΑΖΓ· ἀλλὰ τοῦ μὲν ἐμ- 20 βαδοῦ τοῦ ΑΒΖ καθέτου ἀχθείσης τῆς ΑΗ διπλάσιόν ἐστι τὸ ὑπὸ ΕΒ ΑΗ, τοῦ δὲ ἐμβαδοῦ τοῦ ΑΖΓ fol. 101ᵛ δι|πλάσιόν ἐστι τὸ ὑπὸ ΖΓ ΑΗ· δοθὲν ἄρα τὸ ὑπὸ ΖΒ ΑΗ ἐπὶ τὸ ὑπὸ ΑΗ ΖΓ, τουτέστι τὸ ἀπὸ ΑΗ ἐπὶ τὸ ὑπὸ ΒΖΓ· καὶ ἔστι δοθεῖσα ἡ [Χ]ΒΓ· δοθὲν 25 ἄρα τὸ Ζ· λόγος ἄρα τῆς ΒΓ πρὸς τὴν ΓΖ ⟨δοθείς⟩· ὥστε καὶ τῆς ΓΑ πρὸς ΑΕ. καὶ ἔστι δοθεῖσα ἡ ΓΑ· δοθὲν ἄρα καὶ τὸ Ε. κατὰ τὰ αὐτὰ δὴ καὶ τὸ Δ δοθέν ἐστι· θέσει ἄρα αἱ ΔΕ ΕΖ ΖΔ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἔστω γὰρ 30 ἡ μὲν ΑΒ μονάδων ιγ, ἡ δὲ ΒΓ μονάδων ιδ, ἡ δὲ

So grofs trage AE ab und ziehe die Verbindungslinie ΔE, und die Aufgabe wird gelöst sein.

IV. Wenn das Dreieck $AB\Gamma$ gegeben ist, von ihm Dreieck ΔEZ, das seiner Gröfse nach gegeben ist, so
5 abzuteilen, dafs die übrigbleibenden Dreiecke $A\Delta E$, $B\Delta Z$, ΓZE einander gleich sind. Werden nun die Seiten AB, $B\Gamma$, ΓA durch Δ, E, Z geteilt, so dafs $A\Delta : \Delta B = BZ : Z\Gamma = \Gamma E : EA$ ist, so werden die Dreiecke $A\Delta E$, $B\Delta Z$ und $Z\Gamma E$ einander gleich sein.
10 Man ziehe die Verbindungslinie AZ. Da nun $BZ : Z\Gamma = \Gamma E : EA$ ist, so ist auch $B\Gamma : \Gamma Z = \Gamma A : AE$ und Dreieck $AB\Gamma : AZ\Gamma$
15 $= AZ\Gamma : AZE$ und Dreieck $AB\Gamma : ABZ = AZ\Gamma : E\Gamma Z$, welches letztere gegeben ist. Aber auch $AB\Gamma$
20 ist gegeben. Also ist auch $AB\Gamma \times ZE\Gamma$ gegeben, und dies ist gleich $ABZ \times AZ\Gamma$. Also ist auch ABZ
25 $\times AZ\Gamma$ gegeben. Es




Fig. 64.

ist aber, da AH als Höhe gezeichnet ist, $ABZ = \frac{1}{2} ZB \times AH$ und $AZ\Gamma = \frac{1}{2} Z\Gamma \times AH$. Also ist auch $ZB \times AH \times AH \times Z\Gamma$ d. h. $AH^2 \times ZB \times Z\Gamma$ gegeben. Nun ist $B\Gamma$ gegeben, also ist Z gegeben. Mithin $B\Gamma : \Gamma Z = \Gamma A : AE$.
30 Nun ist ΓA gegeben, also ist auch E gegeben. Demgemäfs ist auch Δ seiner Lage nach gegeben. Mithin sind ΔE, EZ und $Z\Delta$ gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermafsen. Es sei $AB = 13$, $B\Gamma = 14$,

---

4 *δοθέντων*: *ν* del. m. 2 6—7 *τμηθῶσιν Α ὥστε*: lacunam explevi 25 $BZ\Gamma$: alterum Z suprascr. m. 2 ἡ ⋇ $B\Gamma$ (sic) 26 supplevi 29 post *θέσει* suprascr. m. 2 *δέδονται* 31 *ια*: correxit Nath

ΓΔ μονάδων ιε. ἔστω δὲ καὶ τὸ ΔΕΖ τρίγωνον μονάδων πδ. λοιπὰ ἄρα τὰ ΑΔΕ ΔΒΖ ΕΖΓ τρίγωνα ἔσται ἀνὰ μονάδων κ. πολλαπλασίασον τὰ πδ ἐπὶ τὰ κ· γίνεται ͵αχπ· ταῦτα τετράκι· γίγνεται ͵ϛψκ. καὶ ἐπεὶ ἡ ΑΗ κάθετός ἐστι μονάδων ιβ· ἐφ' ἑαυτὰ γίγνεται ρμδ· μέρισον τὰ ͵ϛψκ παρὰ τὸν ρμδ· γίγνεται μϛ· καὶ ἔστιν ἡ ΒΓ μονάδων ιδ· ἔσται ἄρα καὶ ἡ μὲν ΒΖ ὡς ἔγγιστα μονάδων η καὶ ἡ ΖΓ μονάδων ε∟. καὶ ποίησον ὡς τὰ ιδ πρὸς [τὸ] τὰ ε∟, οὕτω τὰ ιε πρὸς ἄλλον τινά· γίγνεται μονάδων ε κε/κη'. πάλιν ὡς τὰ ιδ πρὸς τὰ ε∟, οὕτω τὰ ιγ πρὸς ἄλλον τινά· γίγνεται πρὸς μονάδας ε καὶ γ/κη'. γίγνεται ἡ ΒΔ μονάδων ε καὶ γ/κη'.

ε. Τετραπλεύρου δοθέντος τοῦ ΑΒΓΔ καὶ παραλλήλου οὔσης τῆς ΑΔ τῇ ΒΓ διελεῖν τὸ ΑΒΓΔ τετράπλευρον τῇ ΕΖ εὐθείᾳ, ὥστε λόγον τοῦ ΑΒΕΖ πρὸς τὸ ΕΖΓΔ ⟨δοθέντι ἴσον εἶναι⟩ δοθεισῶν τῶν ΕΖ ΓΔ καὶ εἰς τὸ αὐτὸ νευουσῶν σημεῖον τὸ Η· διὰ δὴ τοῦτο ἔσται ὡς τὸ ΑΒΕΖ πρὸς τὸ ΕΖΓΔ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΓ. ὥστε λόγος καὶ τῆς ΒΖ πρὸς ΖΓ δοθείς· καὶ ἔστι δοθεῖσα ἡ ΒΓ· δοθὲν ἄρα fol. 102r *τὸ Ζ· κατὰ τὰ αὐτὰ | δὴ καὶ τὸ Ε· θέσει ἄρα ἡ ΕΖ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἔστω δοθεὶς λόγος, ὃν ἔχει τὰ β πρὸς τὰ γ· καὶ ἔστω ἡ μὲν ΒΓ μονάδων κε, ἡ δὲ ΑΓ μονάδων κ, αἱ δὲ ΑΒ ΓΔ* οἱαιδηποτοῦν. *σύνθες τὰ β καὶ τὰ γ· γίγνε-*

---

2 μ̊ *κδ*: correxi 3 possis etiam *μονάδας* 9 [*τὸ*] del. m. 2 16 post *λόγον* add. *εἶναι* et post *ΕΖΓΔ* add. *δοθέντα* m. 2; f. ⟨*θέσει*⟩ *δοθεισῶν* 17 post *τῶν* unam litteram del. m. 2 (?) 22 *τὸ ΕΖ*: corr. m. 2 24 *ὁ λόγος*: sed *ὁ* del. m. 1

$\Gamma\Delta = 15$ und Dreieck ΔEZ sei $= 24$. Die übrigbleibenden Dreiecke $A\Delta E$, ΔBZ, $EZ\Gamma$ werden also jedes $= 20$ sein.

$$84 \times 20 = 1680$$

5
$$1680 \times 4 = 6720.$$

Die Höhe AH ist $= 12$.

$$12^2 = 144$$

$$\frac{6720}{144} = 46.$$

Nun ist $B\Gamma = 14$. Es wird also BZ annähernd $= 8$
10 und $Z\Gamma$ annähernd $= 5\frac{1}{2}$ sein. Nun stelle man folgende Gleichung auf: $14 : 5\frac{1}{2} = 15 : x = 15 : 5\frac{25}{28}$, ferner

$$14 : 5\tfrac{1}{2} = 13 : x$$

$$x = 5\tfrac{3}{28}$$

$$B\Delta = 5\tfrac{3}{28}.$$

15 V. Wenn ein Viereck $AB\Gamma\Delta$ gegeben ist und $A\Delta$ parallel $B\Gamma$ ist, das Viereck $AB\Gamma\Delta$ durch die Gerade EZ so zu teilen, daſs das Verhältnis von $ABEZ : EZ\Gamma\Delta$ das
20 der gegebenen Geraden EZ und $\Gamma\Delta$ ist, die nach dem Punkt H zusammenlaufen. Es wird da-
25 her $ABEZ : EZ\Gamma\Delta = BZ : Z\Gamma$ sein, daher auch $BZ : Z\Gamma$ gegeben sein. Nun ist $B\Gamma$ gegeben. Also
30 ist Z gegeben; aus denselben Gründen auch E; also ist EZ gegeben. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Das gegebene Verhältnis sei $2 : 3$, und es sei $B\Gamma = 25$, $A\Delta = 20$, AB
35 und $\Gamma\Delta$ aber beliebig groſs.




Fig. 65.

ται ε· καὶ τὰ κε ἐπὶ τὸν β· γίγνεται ν· ταῦτα παράβαλε παρὰ τὸν ε· γίγνεται ι· τοσούτων ἀπειλήφθω μονάδων ἡ ΒΖ. πάλιν τὰ κ ἐπὶ τὰ β· γίγνεται μ· ταῦτα παράβαλε παρὰ τὸν ε· γίγνεται η. τοσούτων ἀπόλαβε τὴν ΑΕ. καὶ ἐὰν ἐπιζευχθῇ ἡ ΕΖ, ποιήσει 5 τὸ προκείμενον.

ς. Τῶν αὐτῶν ὑποκειμένων ἀπειλήφθω ἡ ΑΗ μονάδων ε καὶ ἐπιτετάχθω ἀπὸ τοῦ Η διαγαγεῖν τὴν ΗΘ διαιροῦσαν τὸ τετράπλευρον ἐν λόγῳ τῷ δοθέντι. διήχθω οὖν, ὡς ἐμάθομεν, ἡ ΕΖ διαιροῦσα τὸ χωρίον 10 ἐν τῷ αὐτῷ λόγῳ καὶ ἐπεζεύχθωσαν αἱ ΗΖ ΕΘ· ἴσον ἄρα ἐστὶ τὸ ΑΒ ⟨ΕΖ⟩ τῷ ΑΒΘΗ· ὥστε καὶ λοιπὸν τὸ ΕΖΗ τρίγωνον τῷ ΗΘΖ τριγώνῳ ἴσον ἐστίν· παράλληλος ἄρα ἐστὶν ἡ ΗΖ τῇ ΕΘ· ἀλλὰ καὶ ἡ ΗΕ τῇ ΖΘ· ἴση ἄρα ἐστὶν ἡ ΗΕ τῇ ΖΘ· δοθεῖσα 15 δὲ ἡ ΗΕ· δοθεῖσα ἄρα καὶ ἡ ΖΘ· καὶ ἔστι δοθὲν τὸ Ζ· δοθὲν ἄρα καὶ τὸ Θ· θέσει ἄρα ἡ ΗΘ. συντεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως· ἀπειλήφθω ἡ ΒΖ μονάδων ι· τοσούτου γὰρ ἀπεδείχθη· καὶ ἐπεὶ ἡ ΑΕ ἐστὶ μονάδων η, ἡ δὲ ΑΗ μονάδων ε, λοιπὴ 20 ἄρα ἡ ΗΕ μονάδων γ. καὶ ἔστιν ἴση τῇ ΖΘ· ἀπειλήφθω οὖν ἡ ΖΘ μονάδων γ. ὥστε ὅλη ἡ ΒΘ ἔσται μονάδων ιγ· ἐπιζευχθείσης οὖν τῆς ΗΘ ἔσται τὸ προκείμενον.

fol. 102ᵛ ζ. | Πάλιν δὲ τετραπλεύρου δοθέντος τοῦ ΑΒΓΔ 25 καὶ παραλλήλου οὔσης τῆς ΑΒ τῇ ΓΔ ἀγαγεῖν αὐταῖς παράλληλον τὴν ΕΖ διαιροῦσαν τὸ τετράπλευρον ἐν λόγῳ τῷ δοθέντι. γεγονέτω καὶ ἐκβεβλήσθωσαν αἱ

---

3 ἡ ΒΓ: correxit m. 2 12 ΑΒ τῷ: supplevi 24 ἑξῆς ἡ καταγραφή in mg. inf. m. 1 26 ΑΕ: corr. m. 2

$$2 + 3 = 5$$
$$25 \times 2 = 50$$
$$\frac{50}{5} = 10.$$

So grofs trage man BZ ab.

$$20 \times 2 = 40$$
$$\frac{40}{5} = 8.$$

So grofs trage man AE ab. Wenn nun die Verbindungslinie EZ gezogen wird, so wird sie die Aufgabe lösen.

VI. Wenn dieselben Voraussetzungen gemacht sind, trage man $AH = 5$ ab, und es werde die Aufgabe gestellt, von H aus die Linie $H\Theta$ zu ziehen, die das Viereck




Fig. 66.

in dem gegebenen Verhältnis teilen soll. Man ziehe nun, wie wir gelernt haben, die Linie EZ, die die Figur in demselben Verhältnis teilt, und die Verbindungslinien HZ und $E\Theta$. Also ist $ABEZ = AB\Theta H$, daher ist auch das übrigbleibende Dreieck $EZH =$ Dreieck $H\Theta Z$. Mithin ist HZ parallel $E\Theta$, aber auch HE parallel $Z\Theta$; also ist $HE = Z\Theta$. Nun ist HE gegeben, also auch $Z\Theta$. Nun ist Z gegeben, also auch Θ; mithin seiner Lage nach $H\Theta$. Berechnet wird es, der Analyse entsprechend,

ΓΑ ΔΒ ἐπὶ τὸ Η. ἐπεὶ οὖν λόγος ἐστὶν τοῦ ΑΕΒΖ πρὸς τὸ ΕΓΖΔ, λόγος ἄρα ἐστὶν καὶ τοῦ ΑΒΓΔ πρὸς τὸ ΑΕΖΒ. καὶ ἔστιν τὸ ΑΓΒΔ δοθέν· δοθὲν ἄρα καὶ τὸ ΑΕΖΒ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΓΔ πρὸς τὴν ΑΒ, ἡ ΓΗ πρὸς τὴν ΗΑ, λόγος δὲ τῆς ΓΔ πρὸς 5 *τὴν ΒΑ, λόγος ἄρα καὶ τῆς ΓΗ πρὸς τὴν ΗΑ· καὶ διελόντι τῆς ΓΑ πρὸς ΑΗ. καὶ δοθεῖσα ἡ ΓΑ· δοθεῖσα ἄρα καὶ ἡ ΑΗ· κατὰ τὰ αὐτὰ καὶ ἡ ΒΗ· δοθὲν ἄρα τὸ ΑΗΒ τρίγωνον. ἀλλὰ καὶ τὸ ΑΕΖΒ τετράπλευρον δοθέν ἐστιν.* 10 *καὶ ὅλον ἄρα τὸ ΕΗΖ τρίγωνον δοθέν ἐστιν. ἀλλὰ καὶ τὸ ΑΗΒ· ὥστε καὶ τοῦ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΑΗ. καὶ* 15 *ἔστι δοθὲν τὸ ἀπὸ ΑΗ. δοθὲν ἄρα καὶ τὸ ἀπὸ ΕΗ· δοθὲν ἄρα τὸ Ε. κατὰ τὰ αὐτὰ καὶ τὸ Ζ. θέσει ἄρα ἡ ΕΖ. συν-* 20




Fig. 67 a.

τεθήσεται δὴ ἀκολούθως τῇ ἀναλύσει οὕτως. ἔστω ἡ μὲν ΑΓ μονάδων ιγ, ἡ δὲ ΒΔ μονάδων ιε, ἡ δὲ ΑΒ μονάδων ϛ, ἡ δὲ ΓΔ μονάδων κ. τὸ ἄρα ἐμβαδὸν τοῦ ΑΒΓΔ, ὡς ἐπάνω ἐμάθομεν, ἔσται μονάδων ρνϛ. ἔστω δὲ ὁ δοθεὶς λόγος, ὃν ἔχει τὰ γ πρὸς τὰ ε· 25 *σύνθες οὖν γ καὶ ε· γίγνεται η. καὶ τὰ ρνϛ ἐπὶ τὰ γ· γίγνεται υξη. ταῦτα μέρισον εἰς τὸν η. γίγνεται νη∟. τοσούτου ἔσται τὸ ΑΕΒΖ. καὶ ἄφελε ἀπὸ τῶν κ τὰ ϛ· λοιπὰ ιδ. καὶ τὰ ιγ ἐπὶ τὰ ϛ· γίγνεται οη.*

6 τῆς ΓΔ: correxi 8 ἡ ΑΗ: corr. m. 2 25 ἔστω: ω ex αι fec. m. 1 29 τὰ η ἐπὶ: correxi

folgendermaſsen. Man trage $BZ = 10$ ab, denn als so groſs wird es nachgewiesen. Und da $AE = 8$, $AH = 5$, ist, so ist $HE = 3$. Nun ist $HE = Z\Theta$. Man trage nun $Z\Theta = 3$ ab. Ganz $B\Theta$ wird daher $= 13$ sein. Zieht
5 man nunmehr die Verbindungslinie $H\Theta$, so wird die Aufgabe gelöst sein.

VII. Wenn wiederum ein Vierseit $AB\Gamma\Delta$ gegeben und AB parallel $\Gamma\Delta$ ist, zu diesen eine Parallele EZ zu ziehen, die das Vierseit in einem gegebenen Verhältnis teilt. Es
10 sei geschehen und ΓA und ΔB seien bis H verlängert. Da nun das Verhältnis $AEBZ : E\Gamma Z\Delta$ gegeben ist, so




Fig. 67 b.

ist auch $AB\Gamma\Delta : AEZB$ gegeben. Nun ist $A\Gamma B\Delta$ gegeben; also ist auch $AEZB$ gegeben. Und da $\Gamma\Delta : AB = \Gamma H : HA$ ist, $\Gamma\Delta : BA$ aber in einem gegebenen Ver-
15 hältnis steht, so ist auch das Verhältnis $\Gamma H : HA$ und $\Gamma A : AH$ gegeben. Nun ist ΓA gegeben, also ist auch AH gegeben. Aus denselben Gründen auch BH; also ist das Dreieck AHB gegeben. Aber auch das Vierseit $AEZB$ ist gegeben, mithin ist auch das ganze Dreieck EHZ
20 gegeben. Aber auch AHB; daher auch $EH^2 : AH^2$. Nun ist AH^2 gegeben; also ist auch EH^2 gegeben; mithin ist E und aus denselben Gründen Z gegeben. Also der Lage nach auch EZ. Berechnet wird es, der Analyse entsprechend, folgendermaſsen. Es sei $A\Gamma = 13$, $B\Delta = 15$,

fol. 108r παράβαλε παρὰ τὸν ιδ· | γίγνεται ε καὶ $\overset{\zeta'}{\delta}$. ἔσται ἡ *ΑΗ*
μονάδων ε καὶ $\overset{\zeta'}{\delta}$. πάλιν τὰς ιε ἐπὶ τὸν ϛ· γίγνεται
ϙ. παράβαλε παρὰ τὸν ιδ· γίγνεται ϛ ⟨$\overset{\zeta'}{\gamma}$⟩. καὶ ἔσ-
ται ἡ *ΒΗ* μονάδων ϛ καὶ $\overset{\zeta'}{\gamma}$. ἀλλὰ καὶ ἡ *ΑΒ* μονά-
δων ϛ· τὸ ἄρα ἐμβαδὸν τοῦ *ΑΗΒ* τριγώνου ἔσται 5
μονάδων ιε καὶ $\overset{\zeta'}{\gamma}$. τοῦ δὲ *ΑΕΖΒ* τραπεζίου τὸ
ἐμβαδὸν νηL· ὅλου ἄρα τοῦ *ΕΖΗ* τριγώνου τὸ ἐμ-
βαδὸν ἔσται μονάδων ογ $\overset{\iota\delta'}{\iota\gamma}$. καὶ πολλαπλασίασον μο-
νάδας ε καὶ $\overset{\zeta'}{\delta}$ ἐφ' ἑαυτά· γίγνεται λα καὶ $\overset{\mu\vartheta'}{\beta}$. ἐπὶ τὰ
ογ $\overset{\iota\delta'}{\iota\gamma}$, καὶ τὰ γενόμενα παράβαλε παρὰ τὸν ιε καὶ 10
$\overset{\zeta'}{\gamma}$, καὶ τῶν γενομένων πλευρὰν λαβέ· γίγνεται ιβ καὶ
ιδ' ὡς ἔγγιστα· καὶ ἀπὸ τῆς εὑρεθείσης πλευρᾶς ἄφελε
τὰ ε καὶ $\overset{\zeta'}{\delta}$· ἔσονται λοιπαὶ μονάδες ϛL· ἀπόλαβε οὖν
τὴν *ΑΕ* μονάδων ϛL καὶ ποίησον ὡς ιγ πρὸς ιε, οὕ-
τως ϛL πρὸς τί· ἔσται δὲ πρὸς μονάδας ζL· ἀπόλαβε 15
τὴν *ΒΖ* μονάδων ζL· ἐπιζευχθεῖσα ἡ *ΕΖ* ποιήσει τὸ
προκείμενον.

τὸ $\Gamma\Delta$, ὁ δὲ παρακείμενος τούτῳ κοχλίας ὁ EZ, ἡ
δὲ συμφυὴς χοινικὶς τῷ $\Gamma\Delta$ τυμπανίῳ ἡ $H\Theta$, ἔχουσα
ἐπικείμενον, ὡς εἴρηται, Δωρικὸν κεφάλιον τὸ $K\Lambda$.
ἐπὶ δὲ τῆς πλίνθου ἐφεστάτω δύο χαλκᾶ στημάτια 25
καθάπερ κανόνια, ἀπέχοντα ἀπ' ἀλλήλων τοσοῦτον,
ὥστε εἰς τὸν μεταξὺ τόπον αὐτῶν πάχος τυμπανίου
δύνασθαι ἐναρμοσθῆναι. ἐπὶ δὲ τῆς πλίνθου μεταξὺ

---

2 κιωνίου 4—5 ἁρμοστὴν: η ex ει fecit. m. 1 7—8 επι-
στρεψωμεν 15 τυπανιου γένηεαι ἢ διαστραφήσεται: correxi
17 επιστρεψωμεν

mit ihm fest verbundenes Zahnrad, das noch kleiner ist als die vorgenannte Bronzescheibe und auf dieser aufliegt, und an seinem oberen Teile um des guten Aussehens willen eine Plinthe in der Form des Kapitellchens einer kleinen 5 dorischen Säule. An dieses Zahnrad wird eine kleine Schnecke (Schraube ohne Ende) angeschoben, deren Windung zu den Zähnen des Rades paſst; die kleinen Lagerböcke dieser Schraube werden mit der gröſseren Bronzescheibe fest verbunden. Wir werden daher, wenn wir diese Schnecke drehen, 10 zugleich das Zahnrad und den mit diesem fest verbundenen Cylinder drehen; fest verbunden wird er dadurch, daſs drei Zapfen von dem Boden des Cylinders ausgehen und mit dem Zahnrade selbst vernietet werden. Die Schnecke erhält in ihrer Längenrichtung eine Vertiefung, die so 15 breit als ihre Windung tief ist. Mithin wird, wenn wir die Schnecke so drehen, daſs diese an ihr angebrachte Vertiefung den Zähnen des Rades gegenüber zu stehen kommt, 20 das Zahnrad sich selbständig bewegen lassen. Wenn wir dieses nun so eingestellt haben, wie es das Bedürfnis des vorliegenden Falles 25 verlangt, so werden wir die Schraube nur noch ein wenig drehen, so daſs ihre Windung in die Zähne eingreift, dann wird das Zahnrad unbeweglich in seiner Stellung verbleiben.




Fig. 83 c. Schnecke mit Gräbchen (Seitenansicht).

Es sei nun AB die Metallscheibe, die um den Zapfen herumgeht und mit dem Ständer verbunden ist; $\Gamma\Delta$ das 30 Zahnrad, das mit dem Cylinder verbunden ist; EZ die an dieses angeschobene Schnecke, $H\Theta$ der mit dem Zahnrade $\Gamma\Delta$ verbundene Cylinder, auf dem, wie gesagt, ein kleines dorisches Kapitell $K\Lambda$ aufliegen soll. Auf dessen Plinthe sollen zwei aus Bronze gefertigte Lagerböcke in Form 35 von Linealen stehen, die soweit von einander entfernt sein müssen, daſs sich in den freien Raum zwischen ihnen die Dicke eines Zahnrades einpassen läſst, und auf der

p. 182 τῶν κανονίων κοχλίας ἔστω στρεφόμενος, οὗ τὰ
fol. 63r στη⟨μάτια ....⟩ | ἁρμοστὰ τῷ εἰρημένῳ τόρμῳ· οἱ
δὲ μακροὶ καὶ οἱ ὄντες τῷ τόρμῳ παρυπεραίρουσιν εἰς
τὸ ἄνω μέρος ὅσον δακτύλους δ. ἐν δὲ τῇ μεταξὺ τῶν
ὑπεροχῶν χώρᾳ ἐναρμόζεται κανὼν πλάγιος, μῆκος μὲν 5
ἔχων ὡς πήχεις τέσσαρας, πλάτος δὲ καὶ πάχος ὥστε
ἁρμόζειν εἰς τὴν εἰρημένην χώραν· καὶ διατεμνέσθω
ὑπ' αὐτῆς κατὰ μῆκος.

p. 184 δ. Ἐν δὲ τῇ ἄνω ἐπιφανείᾳ τοῦ κανόνος σωλὴν
ἐγκέκοπται ἤτοι στρογγύλος ἢ τετράγωνος, τῷ μήκει 10
τηλικοῦτος, ὥστε δέξασθαι σωλῆνα χαλκοῦν μῆκος
ἔχοντα ἔλασσον τοῦ κανόνος ὡς δακτύλους δώδεκα.
τῷ δὲ χαλκῷ σωλῆνι πρόσκεινται ἕτεροι σωλῆνες ὀρθοὶ
ἐκ τῶν ἄκρων, ὥστε δοκεῖν ἀνακεκάμφθαι τὸν σωλῆνα·
τῆς δ' ἀνακαμπῆς τὸ ὕψος οὐ πλεῖον γίνεται δακτύ- 15
λων δύο. εἶτα μετὰ τοῦτο ἐπιπωμάζεται ὁ χαλκοῦς
p. 186 σωλὴν κανόνι ἐπιμήκει ἁρμόζοντι εἰς τὸν σωλῆνα,
ὥστε συνέχειν τόν τε χαλκοῦν σωλῆνα καὶ εὐπρεπε-
στέραν τὴν ὄψιν παρέχειν. ἐν δὲ ταῖς εἰρημέναις
ἀνακαμπαῖς τοῦ σωλῆνος ἐναρμόζεται ἐν ἑκατέρᾳ 20
ὑάλινον κυλίνδριον πάχος μὲν ἔχον ἁρμοστὸν τῷ
σωλῆνι, ὕψος δὲ ὡς δακτύλων δώδεκα· εἶτα περιστεγ-
νοῦται εἰς τὰς ἀνακαμπὰς τὰ ὑάλινα κυλίνδρια κηρῷ
ἢ ἄλλῳ τινὶ στεγνώματι, πρὸς τὸ ὕδατος ἐμβληθέντος
δι' ἑνὸς τῶν κυλινδρίων μηδαμόθεν διαρρεῖν. 25

Περίκειται δὲ τῷ πλαγίῳ κανόνι πηγμάτια δύο
κατὰ τοὺς τόπους, ἐν οἷς ἐστιν τὰ ὑάλινα κυλίνδρια,
ὥστε δι' αὐτῶν διελθόντα τὰ ὑάλινα συνέχεσθαι. ἐν

---

2 post στη hiat disputatio, desunt 4 folia, cf. proleg. p. XIV; f. στη⟨μάτια συμφυῆ γίνεται τῇ πλίνθῳ ......⟩ 3 μακροὶ καὶ οἱ ὄντες: f. καὶ οι (i. e. παράλληλοι) ὄντες (sc. κανόνες) 7 δια-

Plinthe soll sich zwischen den beiden grofsen Pfosten eine Schnecke drehen, deren kleine Lagerböcke ⟨in die Plinthe eingelassen sein müssen. . . . .
. . . . . .⟩ an den genannten Zapfen passend. Die beiden
5 langen und dem Zapfen parallel laufenden Pfosten ragen nach oben etwa 4 Daktylen über ihn hinaus. In das Lager zwischen den überragenden Teilen wird ein Lineal quer eingesetzt, das 4 Ellen lang und so breit und dick ist, dafs es in dieses Lager hineinpafst, und zwar soll es
10 von diesem seiner Länge nach in zwei gleiche Hälften geteilt werden.

IV. In die obere Fläche des Visierlineals ist eine Vertiefung von halbrundem oder quadratischem Querschnitt eingeschnitten, die so lang ist, dafs sie eine Bronze-
15 röhre, die um etwa 12 Daktylen kürzer ist als das Visierlineal, aufzunehmen vermag. An die Bronzeröhre schliefsen sich an ihren Enden zwei andere, senkrecht stehende Röhren an, so dafs es aussieht, als sei die grofse Röhre nach oben aufgebogen. Die Höhe dieser aufgebogenen
20 Stücke bemifst man auf nicht mehr als 2 Daktylen. Hierauf wird die Bronzeröhre mit einem langen Lineal, das auf die Vertiefung pafst, oben dergestalt zugedeckt, dafs dieses sowohl die Bronzeröhre festhält als auch das Aussehen des Apparats wohlgefälliger macht. In die ge-
25 nannten Aufbiegungen der Röhre wird je ein kleiner Glascylinder eingepafst, der eine zu der Röhre passende Dicke und eine Höhe von etwa 12 Daktylen hat. Sodann werden die Glascylinder in die Aufbiegungen mit Wachs oder einem andern Bindemittel hineingekittet, da-
30 mit, wenn durch einen der Cylinder Wasser eingegossen wird, es nirgends durchlaufen kann.

Das querliegende Lineal wird an den Stellen, wo sich die Glascylinder befinden, von zwei kleinen Gehäusen umgeben, so dafs die Glasgefäfse durch diese hindurchgehen und

---

τεμνέσθω: *ν* supra lin. supplevit m. 1   20 *εκατέρω*: correxi
21 *ὑέλινον*: correxi hic et 23. 27. 28. p. 200, 3 coll. p. 200, 9




Fig. 84a. Nivellierlineal (Seitenansicht).




Fig. 84b. Nivellierlineal (Grundrifs).




Fig. 84 c. Nivellierlineal (Durchschnitt).

*δὲ τοῖς εἰρημένοις πηγματίοις λεπίδια χαλκᾶ ἐναρ-
μόζεται, διατρέχειν μὲν δυνάμενα ἐν σωλῆσι διὰ τῶν
τοίχων τῶν πηγματίων ψαύοντα τῶν ὑαλίνων κυλιν-
δρίων, μέσας ἔχοντα ἀνατομάς, δι' ὧν δυνατὸν ἔσται
διοπτεύειν. τοῖς δὲ εἰρημένοις λεπιδίοις συμφυῆ* 5
*γίνεται ἐκ τῶν κάτω μερῶν χοινικίδια, ὕψος ἔχοντα
ὡς ἡμιδακτυλ⟨ί⟩ου, καὶ τούτοις ἁρμοστὰ γίνεται ἀξόνια
χαλκᾶ, μῆκος μὲν ἔχοντα ὅσον ἐστὶν τὸ ὕψος τοῦ
πήγματος τοῦ πρὸς ἑνὶ τῶν ὑαλίνων κυλινδρίων, ἃ
διὰ τρήματος ἀνέρχεται ἐν τῷ κανόνι τῷ τὸν σωλῆνα* 10
fol. 63v *ἔχοντι. ἐν δὲ τοῖς ἀξονίοις ἕλικες ἐντέμνονται, | εἰς ἃς
τυλάρια ἁρμοστὰ γίνεται συμφυῆ ὄντα τῷ κανόνι. ἐὰν
ἄρα τὰς τῶν ἀξον⟨ί⟩ων ὑπεροχὰς τὰς εἰς τὸ κάτω
μέρος ἐπιστρέφῃ τις, κινήσει τὰ λεπίδια τὰ τὰς ἀνατο-
μὰς ἔχοντα ἔκ τε τοῦ ἄνω καὶ κάτω μέρους· ἕξει γὰρ* 15
*τὸ πρὸς τῇ λεπίδι ἄκρον τοῦ ἀξονίου τυλάριον ἐμβαῖ-
νον εἰς σωλῆνα ἐνόντα ἐν τῷ χοινικιδίῳ.*

p. 188 *ε. Καὶ ἡ μὲν τῆς διόπτρας κατασκευὴ εἴρηται, τὴν
δὲ τῶν παρατιθεμένων αὐτῇ κανόνων καὶ ἀσπίδων νῦν
ἐροῦμεν. δύο γίνονται κανόνες μῆκος μὲν ὡς πηχῶν* 20
*ι, πλάτος δὲ ὡς δακτύλων ε, πάχος δὲ ὡς δακτύλων
τριῶν. ἐν δὲ τῷ μέσῳ πλάτει ἑκατέρων αὐτῶν πελε-
κῖνος γίνεται θῆλυς τὰ στενὰ εἰς τὸ ἔξω μέρος ἔχων,
ἰσομήκης τῷ κανόνι. τούτῳ δὲ ἁρμοστὸν γίνεται χελω-
νάριον εὐλύτως διατρέχειν εἰς αὐτὸν δυνάμενον καὶ* 25
*μὴ ἐκπίπτειν. τούτῳ δὲ τῷ χελωναρίῳ προσηλοῦται
ἀσπιδίσκη τὴν διάμετρον ἔχουσα ὡς δακτύλων δέκα ἢ
δώδεκα· καὶ διὰ τοῦ κύκλου εὐθείας βληθείσης πρὸς*

4f. ⟨δ'⟩*ἔχοντα* 7 *ἡμιδακτύλου*: correxi *ἀξώνια* 9 *τῶ πρὸς*: correxi *γαληνων*: correxi 9—10 *ὃ διὰ*: corr. Vi 11 *ἀξωνιοις ἐντεμονται* 13 *ἀξώνων* 16 *ἀξωνίου* 18—19 *εἴρηται. τῶν*

darin festgehalten werden. In diese Gehäuse werden Metallplättchen hineinverpaſst, welche in Führungen an den Wänden der Gehäuse auf und nieder laufen können; sie berühren dabei die Glascylinder und haben in der
5 Mitte Ausschnitte zum Visieren. An diesen Metallplättchen sind an ihrem unteren Ende kleine Cylinder, die die Höhe von etwa $\frac{1}{2}$ Daktylos haben, befestigt und in diese paſst man drehbare Stifte aus Bronze ein, die so lang sind als das Gehäuse bei einem der Glascylinder; sie gehen durch
10 ein Loch in dem mit der Vertiefung versehenen Lineal. In die Stifte werden Schraubenwindungen eingeschnitten, in welche kleine Zapfen, die mit dem Lineal festverbunden sind, eingreifen. Dreht man nun an den nach unten überstehenden Teilen der Stifte, so wird man dadurch die
15 mit Ausschnitten versehenen Metallplättchen nach oben und unten bewegen. Denn das dem Metallplättchen benachbarte Ende des Stiftes wird mit einem kleinen Wulst versehen sein, der in eine an der Innenfläche des kleinen Cylinders angebrachte Vertiefung eingreift.

20 V. Die Konstruktion der Dioptra ist hiermit dargelegt; nunmehr werden wir die der neben ihr gebrauchten Schiebelatten und Zielscheiben angeben. Es werden zwei (parallelepipedische) Latten hergestellt, die eine Länge von etwa 10 Ellen, eine Breite von etwa 5 Daktylen und eine
25 Dicke von etwa 3 Daktylen haben. In der Mitte einer Breitseite jeder der beiden Latten wird in deren ganzer Länge eine sogenannte weibliche Nuth von schwalbenschwanzförmigem Durchschnitt angebracht, deren engerer Teil nach auſsen liegt. In diese wird ein kleiner Schlitten
30 eingepaſst, der bequem darin laufen kann, ohne doch herauszufallen. An diesen Schlitten wird eine Zielscheibe angenagelt, die einen Durchmesser von 10—12 Daktylen hat. Durch ihre kreisförmige Fläche wird eine Gerade im rechten Winkel zu der Längenrichtung der Latte ge-

---

δὲ παρατιθεμένων: corr. Vi 19 *ἀσπίδων*: *ἀσπιδίσκων* Vi 20 *μήκους*: correxi 22f. *ἑκατέρου* 24 *τοῦτο*

ὀρθὰς τῷ μήκει τοῦ κανόνος τὸ μὲν τῶν ἡμικυκλίων λευκῷ χρίεται χρώματι, τὸ δ' ἕτερον μέλανι. ἐκ δὲ τοῦ χελωναρίου σπάρτος ἐκδεθεῖσα διὰ τροχίλου εἰς τὸ ἄνω τοῦ κανόνος κειμένου ἀποδίδοται εἰς τὸ ἕτερον τοῦ κανόνος μέρος, ὅπου οὐκ ἔστιν ἡ ἀσπιδίσκη. ἐὰν ἄρα τις τὸν κανόνα ὀρθὸν ἐάσῃ ἐπὶ τοῦ ἐδάφους, καὶ ἐπισπάσηται ἐκ τῶν ὄπισθεν μερῶν τὴν σπάρτον, μετεωρίσει τὴν ἀσπιδίσκην· ἐὰν δὲ ἀφῇ, κατενεχθήσεται εἰς τὸ κάτω μέρος τῷ ἰδίῳ βάρει· ἕξει γὰρ ἐκ τῶν ὄπισθεν μερῶν ἡ ἀσπιδίσκη μολιβοῦν πλάτυσμα προσηλωμένον, ὥστε αὐτομάτως




Fig. 85 a.
Schiebelatte (Vorderansicht).

8 τροχήλου 15 ἐάσῃ: f. στήσῃ 19 μετεωρίσῃ 24—25 ὄπισθε




Fig. 85 b.
Schiebelatte (Seitenansicht).

legt und dann der eine der beiden Halbkreise mit weiſser, der andere mit schwarzer Farbe angestrichen. An dem Schlitten wird eine Schnur befestigt und über ein am oberen Ende der Latte sitzendes Rad nach der anderen Seite der Latte, wo die Zielscheibe nicht sitzt, geführt. Wenn man nun die Latte senkrecht auf den Boden aufsetzt und von der Hinterseite aus die Schnur anzieht, so wird man die Zielscheibe nach oben bewegen; läſst man dagegen die Schnur nach, so wird die Scheibe durch ihr eigenes Gewicht nach unten gleiten. Die Zielscheibe wird nämlich an ihrer Rückseite eine aufgenagelte Bleiplatte tragen, so daſs sie von selbst hinabgleitet. Wenn wir zu dem Ende die Schnur nachlassen, so wird die Zielscheibe an jeder gewünschten Stelle der Latte festgestellt werden können.

Die Latte wird weiter von ihrer unteren Spitze an sorgfältig in so viel Ellen, Palaesten und Daktylen eingeteilt, als ihre Länge faſst, und an den Teilpunkten werden die Linien der Lattenteile rechts von der Zielscheibe eingegraben. Die Zielscheibe soll aber auch an ihrer Rückseite einen Zeiger haben,

καταφέρεσθαι· πρὸς ὃ ἐὰν τὴν σπάρτον ἀνιῶμεν, κατα-
σταθήσεται καὶ ἡ ἀσπιδίσκη καθ' ὃν ἂν βουλώμεθα
τοῦ κανόνος τόπον χαλωμένης<. . . . .>.

Διῃρήσθω δὲ καὶ ὁ κανὼν ἀπὸ τῆς κάτω κουρᾶς
ἀκριβῶς εἰς πήχεις καὶ παλαιστὰς καὶ δακτύλους, ὅσους 5
fol. 64r ἐὰν ἐπιδέχηται | τὸ μῆκος· καὶ κα<τὰ> τὰς διαιρέσεις
αἱ γραμμαὶ ἐγκεχαράχθωσαν <τῶν> τοῦ κανόνος μερῶν
[τῶν] ἐπὶ τὰ δεξιὰ τῆς ἀσπιδίσκης· ἕξει δὲ καὶ ἡ
ἀσπιδίσκη ἐκ τῶν ὄπισθεν μερῶν γνωμόνιον ἀπὸ τῆς
εἰρημένης ἐν αὐτῇ διαμέτρου παραπῖπτον παρὰ τὰς 10
εἰρημένας ἐν τῷ πλαγίῳ μέρει τοῦ κανόνος γραμμάς.

p. 190 Οἱ δὲ κανόνες ὀρθοὶ σταθήσονται ἐπὶ τοῦ ἐδάφους
ἀκριβῶς οὕτως· ἐκ πλαγίων τῶν κανόνων, ὅπου οὐκ
εἰσιν αἱ τῶν μερῶν γραμμαί, τύλος ἐμπήγνυται μῆκος
ἔχων ὡς δακτύλους τρεῖς, οὗ παρὰ τὴν κουρὰν τρῆμα 15
γίνεται ἀπὸ τῶν ἄνω μερῶν εἰς τὸ κάτω, δυνάμενον
σπάρτον δέξασθαι βάρος ἔχουσαν κρεμάμενον. ὡς δὲ τὸ
κάτω μέρος [σ]τύλος ἐγκείμενος γίνεται τοσοῦτος, ὅσον
καὶ τὸ εἰρημένον τρύπημα ἀφέστηκεν ἀπὸ τοῦ εἰρημένου
κανόνος. ἐν δὲ τῇ [εἰρημένῃ] κουρᾷ τῇ κάτω τοῦ 20
τύλου μέση καὶ ὀρθὴ γραμμὴ γίνεται, ᾗ ἐφαρμόσασα
ἡ εἰρημένη σπάρτος τὸν κανόνα ὀρθὸν καταστήσει.

Τῆς οὖν κατασκευῆς πάσης εἰρημένης νῦν καὶ τὴν
χρῆσιν ἐκθησόμεθα, ὡς δυνατὸν ἔσται.

p. 194 ϛ. Δύο σημείων δοθέντων ἐν ἀποστήματι τυχόντι 25
ἐπισκέψασθαι, ὁπότερον αὐτῶν μετεωρότερόν ἐστιν ἢ
ταπεινότερον, καὶ πόσῳ, ἢ καὶ ἀμφότερα ἐξ ἴσου κεῖται,
τουτέστιν ἐν ἑνὶ ἐπιπέδῳ παραλλήλῳ τῷ ὁρίζοντι.

---

3 χαλωμένης: χαλωμένη Vi; hiatum indicavi 6—7 καὶ κατὰσ διαιρέσεις: corr. Vi 8 [τῶν] transposui; ἐκ τοῦ καν. Vi 9 ὄπισθε 13 πλαγίων τε: correxi 16 f. τὰ κάτω

der, in der Höhe jenes Durchmessers angebracht, die bezeichneten Linien, die sich auf der Flanke der Latte befinden, bestreicht. Genau senkrecht werden die Latten auf dem Erdboden folgendermaſsen aufgestellt. Auf derjenigen 5 Flanke der Latten, wo die Teilungslinien nicht angebracht sind, wird ein Stift befestigt, der eine Länge von ungefähr 3 Daktylen hat. An seinem äuſseren Ende wird von oben nach unten ein Loch gebohrt, das eine Schnur, an




Fig. 85c. Schiebelatte (Querschnitt).

welcher ein Gewicht hängt, aufzunehmen vermag. Weiter 10 nach unten wird ein zweiter Stift angebracht, der so weit vorspringt, als das erwähnte Loch von der Latte absteht. An dem äuſseren Ende des unteren Pflockes wird in der Mitte eine senkrechte Linie angebracht. Spielt die Schnur auf diese ein, so wird sie dadurch die Latte senkrecht stellen.

15 Nachdem wir die Konstruktion vollständig dargelegt haben, werden wir nun auch die Anwendung des Instruments, soweit es möglich sein wird, auseinandersetzen.

VI. Wenn zwei Punkte in beliebigem Abstande von einander gegeben sind, zu untersuchen, welcher von beiden der 20 höhere oder tiefere, und wie groſs die Höhendifferenz ist, oder auch ob sie beide in gleicher Höhe, d. h. in einer dem Horizonte parallelen Ebene liegen. Ferner wollen wir auch noch die in dem Zwischenraum zwischen den bei den Punkten gegebenen


---

18 *στύλος*: corr. Vi *τοσοῦτον* 20 [*εἰρημένῃ*] delevi; f. *κουρᾷ τῇ τοῦ κάτω τύλου* 26 *ὁπώτερον* 27 exspectaveris *ἢ* ⟨*εἰ*⟩ *καὶ*

οὐ μὴν ἀλλὰ καὶ τοὺς δοθέντας τόπους ἐν τῷ μεταξὺ
διαστήματι τῶν σημείων ἐπισκεψώμεθα, πῶς ἔχουσι
πρὸς ἀλλήλους καὶ τὰ ἐξ ἀρχῆς δοθέντα σημεῖα. ἔστω-
σαν οἱ δοθέντες τόποι, τουτέστι τὰ σημεῖα, τὰ *Α*, *Β*.
δεῖ δὲ ἐπισκέψασθαι, ὁπότερον αὐτῶν μετεωρότερόν ἐστιν 5
ἢ ταπεινότερον· καὶ τὸ μὲν *Β* σημεῖον ἔστω ⟨τόπος⟩, ἐν
[αὐτ]ῷ τὸ ὕδωρ ἐστίν, τὸ δὲ *Α*, εἰς ὃν μέλλει φέρεσθαι.
ἕνα οὖν τῶν εἰρημένων κανόνων ἵστημι πρὸς τῷ *Α*,
καὶ ἔστω ὁ *ΑΓ*· εἶτα ἀποστήσας τὴν διόπτραν ἀπὸ
τοῦ *Α* τοσοῦτον, ἐφ' ὅσον δυνάμεθα ὁρᾶν τὸν *ΑΓ* 10
κανόνα, ἐπὶ τὰ αὐτὰ μέρη τῷ *Β*, ἐπιστρέφω τὸν ἐπ'
ἄκρῳ τῷ στυλίσκῳ, ἐν ᾧ ἐστι τὰ ὑάλινα κυλίνδρια,
ἄχρις ἂν ἐπ' εὐθείας γένηται ὁ πλάγιος κανὼν τῷ
ΑΓ. εἶτα ἐπιστρέψας τὰ κοχλίδια ἐν τῷ κανόνι |
fol. 64ᵛ ἀνάγω τὰς λεπίδας, ἄχρις ἂν αἱ ἐν αὐταῖς ἀνατομαὶ 15
γένωνται κατὰ τὰς ἐν τοῖς ὑαλίνοις γραμμάς, ἃς ποιεῖ
ἡ τοῦ ὕδατος ἐν αὐτοῖς ἐπιφάνεια· καὶ κατασταθέντων
οὕτως τῶν λεπιδίων διὰ τῶν ἐν αὐτοῖς ἀνατομῶν
διοπτεύω θεωρῶν τὸν *ΑΓ* κανόνα, τῆς ἀσπιδίσκης
p. 196 μετεωριζομένης ἢ ταπεινουμένης, ἄχρις ἂν φανῇ ἡ μέση 20
τοῦ λευκοῦ καὶ μέλανος χρώματος γραμμή. καὶ με-
νούσης τῆς διόπτρας ἀκινήτου μεταβὰς ἐκ τοῦ ἑτέρου
μέρους διοπτεύω διὰ τῶν ἀνατομῶν, ἀποστήσας ἀπὸ
τῆς διόπτρας τὸν ἕτερον κανόνα τοσοῦτον ὥστε βλέ-
πεσθαι· καὶ πάλιν χαλωμένης τῆς ἑτέρας ἀσπιδίσκης 25
θεωρῶ τὴν ἐν αὐτῇ μέσην τῶν χρωμάτων γραμμήν.
ἔστω οὖν ὁ δεύτερος κανὼν ὁ *ΔΕ*, διόπτρα δὲ ἡ *Ζ*,

---

6 ⟨τόπος⟩ R. Schoene dubitanter   6—7 *ἐν αὐτῷ*: corr. Vi   7 *εἰς ὃν*: *εἰς ὃ* Vi   11 *τοῦ Β*: correxi   11—12 *τὸν ἐπ' ἄκρῳ τῷ στυλίσκῳ*: sc. *κανόνα*   12 *ὑέλινα*: correxi, cf. adn. p. 196, 21   18 *αὐταῖς*: correxi   27 *ἡ* $\bar{Z}$ ' *τὰ δὲ* (sic): correxi


Fig. 36.

Orte darauf untersuchen, wie sie sich zu einander und zu den ursprünglich gegebenen Punkten verhalten.

Die gegebenen Orte, d. h. die Punkte, seien *A* und *B*. Die Aufgabe ist, zu untersuchen, welcher von beiden höher oder tiefer liegt. Nun sei *B* der Punkt, an welchem das Wasser ist, *A* der Punkt, nach welchem es geleitet werden soll. Ich stelle nun eine der erwähnten Schiebelatten bei *A* auf; sie sei *AΓ*. Dann stelle ich die Dioptra in der Richtung auf *B* zu soweit von *A* entfernt auf, als man die Schiebelatte *AΓ* noch zu sehen vermag, und drehe das oben auf dem Ständer liegende Visierlineal, an dem sich die Glascylinder befinden, so lange, bis das querliegende[1]) Lineal in einer auf *AΓ* zulaufenden Graden liegt. Sodann hebe ich durch Drehung der in das Lineal eingelassenen Schrauben die Metallplättchen so lange, bis die daran angebrachten Ausschnitte in Höhe der innerhalb der Glasgefäſse erscheinenden Linien zu stehen kommen, die die Oberfläche des in ihnen befindlichen Wassers markiert. Sind die Metallplättchen auf diese Weise eingestellt, so visiere ich durch die darin befindlichen Einschnitte, indem ich die Schiebelatte *AΓ* ins

1) Die technische Bedeutung des Wortes πλάγιος ist unsicher.

τὰ δὲ εἰλημμένα σημεῖα διὰ τῆς διόπτρας τὰ Γ, Ε·
καθ' ὃ δὲ ἐπίκειται ὁ ΔΕ κανὼν τῷ ἐδάφει, ἔστω τὸ
Δ. ἐμέτρησα οὖν ἑκατέραν τῶν ΑΓ, ΔΕ· καὶ ἔστω
ἡ μὲν ΑΓ ηὑρημένη πηχῶν ς, ἡ δὲ ΔΕ πηχῶν β.
ἀπεγραψάμην οὖν δύο στίχους, ἐν μὲν τῷ ἑνὶ ἐπι- 5
γράψας καταβάσεως, ⟨ἐν δὲ τῷ ἑτέρῳ ἀναβάσεως⟩, ὡς
ὑπογέγραπται· καὶ τοὺς μὲν ἓξ πήχεις ἐν τῷ τῆς κατα-
βάσεως στίχῳ σημειοῦμαι, τοὺς δὲ δύο ἐν τῷ τῆς ἀνα-
βάσεως. καὶ μένοντος τοῦ ΔΕ κανόνος μετατίθημι
τὴν διόπτραν· καὶ ἔστω πρὸς τῷ Κ· καὶ ἐπιστρέφω 10
τὸν [ΔΕ] κανόνα, ἄχρις ἂν πάλιν ἴδω διὰ τοῦ πλα-
γίου κανόνος τὸν ΔΕ κανόνα. καὶ καταστήσας τά [τε]
λεπίδια τίθημι τὸν ΑΓ κανόνα ἔμπροσθεν τῆς διό-
πτρας, τουτέστιν ἐπὶ τὰ ἕτερα μέρη τοῦ ΔΕ κανόνος.
καὶ πάλιν ἀκινήτου τῆς διόπτρας οὔσης καθίστημι 15
τὴν ἀσπιδίσκην ἐπ' εὐθείας ταῖς ἀνατομαῖς, καὶ ἔστω
τὰ πρὸς ταῖς ἀσπιδίσκαις σημεῖα ἐπὶ τῶν κανόνων τὰ
Η, Θ. πάλιν οὖν τὸ μὲν ἀπὸ τοῦ Η διάστημα ἄχρι
τοῦ ἐδάφους σημειοῦμαι εἰς τὸν τῆς καταβάσεως στί-
χον, τὸ δὲ ἀπὸ τοῦ Θ εἰς τὸν τῆς ἀναβάσεως· καὶ 20
ἔστωσαν μὲν καταβάσεως πήχεις τέσσαρες, ἀναβάσεως
δὲ πήχεις δύο. καὶ πάλιν μένοντος τοῦ πρὸς τῷ Θ
κανόνος μετατίθημι τὴν διόπτραν καὶ τὸν ἕτερον κα-
p. 198 νόνα ⟨καὶ⟩ καταστήσας, ὡς προείρηται, ἐπ' εὐθείας τάς
τε ἀσπιδίσκας καὶ τὰς ἀνατομὰς λαμβάνω [καὶ] ἐπὶ 25
fol. 65r τῶν κανόνων σημεῖα τὰ Λ, Μ. | καὶ πάλιν τὸ μὲν

---

4 ηυραμένη: corr. Vi 5 ἀπεγραψαμην: ἀπ ... ex ἐπ ... fec. videtur man. 1 6 supplevit Vi 8 σημειουται: corr. Vi 9 μένοντας: corr. Vi 10 πρὸς τὸ: correxi 11 [ΔΕ] delevi ἴδω καὶ τοῦ: correxi 12 [τε] delevi 15 οὔσης: f. μενούσης 22 πρὸς τὸ: correxi 24 ⟨καὶ⟩ addidi ἐπευθείασι (sic) 25 [καὶ] delevi

Auge fasse, deren Zielscheibe so lange gehoben oder gesenkt wird, bis die Grenzlinie der weiſsen und der schwarzen Farben sichtbar wird. Indem nun die Dioptra unverrückt bleibt, trete ich auf die andere Seite und visiere von da
5 aus durch die Ausschnitte, nachdem ich die andere Schiebelatte soweit von der Dioptra entfernt aufgestellt habe, daſs sie gerade noch sichtbar ist. Und indem nun wieder die andere Zielscheibe in Bewegung gesetzt (und verschoben) wird, blicke ich nach der Grenzlinie der Farbenflächen
10 auf ihr. Die zweite Schiebelatte nun soll ΔE sein und Z die Dioptra, die Punkte aber, die mit der Dioptra einvisiert sind, Γ und E, und wo die Schiebelatte ΔE auf dem Erdboden aufsteht, da soll der Punkt Δ sein. Ich messe nun die beiden Geraden $A\Gamma$ und ΔE, und es sei
15 für $A\Gamma$ eine Länge von 6 Ellen, für ΔE von 2 Ellen ermittelt. Nun lege ich mir zwei Kolumnen an, und schreibe über die erste „Abstieg", über die zweite „Aufstieg", wie es unten gemacht ist. Und die 6 Ellen notiere ich in der Abstiegkolumne, die 2 dagegen in der Aufstieg-
20 kolumne. Während nun die Schiebelatte ΔE stehen bleibt, setze ich die Dioptra um — und zwar soll sie bei K stehen — und drehe das Visierlineal so lange, bis ich wiederum durch das querliegende Lineal die Schiebelatte ΔE erblicke. Und nachdem ich die Metallplättchen ein-
25 gestellt habe, stelle ich die Schiebelatte $A\Gamma$ vor die Dioptra, d. h. nach der entgegengesetzten Seite als die Latte ΔE, auf. Und während die Dioptra wieder unverrückt bleibt, stelle ich die Zielscheibe auf eine Gerade mit den Ausschnitten ein; und es seien die Lattenpunkte an den Ziel-
30 scheiben die Punkte H und Θ. Ich notiere nun wieder den Abstand von H bis zum Erdboden in der Abstiegkolumne und den Abstand von Θ in der Aufstiegkolumne. Es seien im Abstieg 4 Ellen, im Aufstieg 2 Ellen.

Indem nun wieder die Schiebelatte bei Θ stehen
35 bleibt, stelle ich die Dioptra und die andere Schiebelatte um, und nachdem ich, wie vorher beschrieben, die Zielscheiben und die Ausschnitte auf eine Gerade eingestellt

πρὸς τῷ Λ μέτρον καταβάσεως ἔσται, τὸ δὲ πρὸς τῷ Μ ἀναβάσεως· ἔστω οὖν καταβάσεως πῆχυς εἷς, ἀναβάσεως δὲ πήχεις τρεῖς. πάλιν οὖν μένοντος τοῦ πρὸς τῷ Μ κανόνος μετακείσθω ἥ τε διόπτρα καὶ ὁ ἕτερος κανών. ἡ δὲ διὰ τῆς διόπτρας ἔστω εὐθεῖα ἡ ΞΟ, καὶ πρὸς μὲν τῷ Ξ καταβάσεως ἔστωσαν πήχεις τέσσαρες, πρὸς δὲ τῷ Ο ἀναβάσεως πήχεις δύο. εἶθ' ἑξῆς τὰ αὐτὰ γινέσθω, ἄχρις ἂν ἐπὶ τὸ Β παραγενώμεθα· καὶ ἔστω διόπτρα μὲν ἡ Τ, ἡ δὲ διὰ τῶν ἀνατομῶν εὐθεῖα ἡ ΡΣ· καὶ καταβάσεως μὲν πήχεις ε, ἀναβάσεως δὲ πήχεις τρεῖς. εἶτα διόπτρα μὲν ἡ Χ, εὐθεῖα δὲ ἡ ΥΦ· καὶ καταβάσεως πῆχυς εἷς, ἀναβάσεως δὲ πήχεις τρεῖς. εἶτα διόπτρα μὲν ἡ ϛ, εὐθεῖα δὲ ἡ ΨΩ· καὶ καταβάσεως πήχεις δύο, ἀναβάσεως δὲ πήχεις τρεῖς. πάλιν διόπτρα μὲν ἡ ͵Α, εὐθεῖα δὲ ἡ ϙϡ· καὶ καταβάσεως μὲν πήχεις ε, ἀναβάσεως ⟨δὲ⟩ πήχεις γ. εἶτα διόπτρα μὲν ἔστω ἡ ͵Δ, εὐθεῖα δὲ ἡ

καταβάσεως	↑↓	*ἀναβάσεως*
ϛ		β
δ		β
α		γ
δ		β
ε		γ
α		γ
β		γ
ε		γ
β		α
γ		α
λγ		κγ

habe, bestimme ich auf den Latten die Punkte ͵A und M. Wiederum wird das Maſs bei ͵A zum Abstieg, das bei M zum Aufstieg gehören. Es seien im Abstieg 1 Elle, im Aufstieg 3 Ellen.

Während nun wieder die Latte bei M stehen bleibt, sollen die Dioptra und die andere Latte umgesetzt werden. Die durch die Dioptra gehende Gerade soll ΞO sein und sich bei Ξ im Abstieg 4 Ellen, bei O im Aufstieg 2 Ellen ergeben. Sodann soll der Reihe nach immer wieder dasselbe geschehen, bis wir bei B angekommen sind. Und zwar seien T die Dioptra, $P\Sigma$ die durch die Ausschnitte gehende Gerade, und im Abstieg 5 Ellen, im Aufstieg 3 Ellen. Dann seien X die Dioptra, und $\Upsilon\Phi$ die Gerade, und im Abstieg 1 Elle, im Aufstieg 3 Ellen. Sodann seien ϛ die Dioptra, $\Psi\Omega$ die Gerade, und im Abstieg 2 Ellen, im Aufstieg 3 Ellen. Wiederum seien ͵A die Dioptra, ϙϡ die Gerade, und im Abstieg 2 Ellen, im Aufstieg 3 Ellen. Sodann seien ͵Δ die Dioptra, ͵B ͵Γ die Gerade, und im Abstieg 2 Ellen, im Aufstieg 1 Elle. Und wiederum ͵Z die Dioptra, ͵EB die Gerade, und im Abstieg 3 Ellen, im Aufstieg 1 Elle. Die letzte Schiebelatte aber soll bei der Oberfläche des Wassers selbst aufgestellt sein.

Abstieg	Aufstieg
6	2
4	2
1	3
4	2
5	3
1	3
2	3
5	3
2	1
3	1
33	23

6 τὸ ξ: corr. Vi 12 πῆχυς μια: corr. Vi 16—17 μὲν πήχεις ϱ: corr. et ⟨δὲ⟩ add. Vi 18—29 laterculum supplevi

͵Β͵Γ. καὶ καταβάσεως μὲν πήχεις β, ἀναβάσεως δὲ πῆχυς εἷς. καὶ πάλιν διόπτρα μὲν ἡ ͵Ζ, εὐθεῖα δὲ ἡ ͵ΕΒ· καὶ καταβάσεως μὲν πήχεις τρεῖς, ἀναβάσεως δὲ πῆχυς α. ὁ δὲ τελευταῖος κανὼν κείσθω πρὸς αὐτῇ τῇ τοῦ ὕδατος ἐπιφανείᾳ. 5

Τῶν οὖν ἀριθμῶν σεσημειωμένων ἐν τοῖς εἰρημένοις στίχοις συντίθημι πάντας τοὺς τῆς καταβάσεως ἀριθμούς· εἰσὶ δὲ λγ· ὁμοίως καὶ τοὺς τῆς ἀναβάσεως· εἰσὶ δὲ κγ· ὥστε ὑπεροχὴ πήχεις ι. ἐπεὶ οὖν ὁ τῆς r. 200 καταβάσεως ἀριθμός, τουτέστιν ὁ ἐπὶ τὰ μέρη τοῦ 10 τόπου, εἰς ὃν θέλομεν ἄγειν τὸ ὕδωρ, μείζων ἐστίν, κατενεχθήσεται τὸ ὑγρόν· καὶ ἔσται μετεωρότερον τοῦ πρὸς τῷ Α πήχεις δέκα. εἰ δ' ἴσοι γεγόνασιν ἀριθμοί, ἰσοϋψῆ ὑπῆρχε τὰ Α, Β σημεῖα, τουτέστιν ἐν ἑνὶ ἐπιπέδῳ παραλλήλῳ τῷ ὁρίζοντι· καὶ οὕτως 15 δὲ δυνατὸν κατάγεσθαι τὸ ὕδωρ. εἰ δ' ἐλάττων ἦν ὁ τῆς καταβάσεως ἀριθμός, ἀδύνατον αὐτοματίσαι τὸ ὕδωρ· ἀντλήματος ἄρα προσδεόμεθα. ἡ δ' ἄντλησις γίνεται, εἰ μὲν πολὺ ταπεινότερος ἦν ὁ τόπος, διὰ πολυκαδίας ἢ τῆς καλουμένης ἁλύσεως· εἰ δ' ὀλίγον, 20 ἤτοι διὰ κοχλιῶν ἢ διὰ τῶν παραλλήλων τυμπανίων. fol. 65v καὶ τοὺς μέσους δὲ τόπους, δι' ὧν | ἀνεκρίναμεν ἄγειν τὸ ὕδωρ, ἐπισκεψόμεθα, πῶς πρὸς ἀλλήλους τε καὶ τοὺς ἐξ ἀρχῆς τόπους ἔχουσι διὰ τῆς αὐτῆς μεθόδου, ὑπολαβόντες τοὺς εἰρημένους μέσους τόπους εἶναι τοὺς ἐξ 25 ἀρχῆς δοθέντας· κατ' οὐδὲν γὰρ διοίσει. δεῖ δὲ καὶ ἐκλογισάμενον πᾶν τὸ μῆκος ἐπισκέψασθαι ἐν τῷ σταδίῳ, πόσον κλίμα γενήσεται τοῦ παντὸς κλίματος· καὶ οὕτως εἰς τοὺς μέσους τόπους σημεῖα καὶ ὅρους

---

3 ἡ ͵ες (sic): correxi 10—11 τοῦ πόθου ἐν ᾧ: τοῦ τόπου εἰς ὃν Vi 11 θέλωμεν μειζον 14 ἴσουψη (sic) τὸ $\overline{AB}$

Nachdem nun die Zahlen in den genannten Kolumnen notiert sind, addiere ich sämtliche Zahlen des Abstiegs: ihre Summe ist 33; ebenso auch die des Aufstiegs: ihre Summe ist 23; so daſs sich ein Überschuſs von 10 ergiebt.
5 Da nun die Summe des Abstiegs, d. h. die der Höhenzahlen nach dem Orte zu, nach dem wir das Wasser führen wollen, gröſser ist, so wird das Wasser Gefäll haben und zwar wird es (bei *B*) um 10 Ellen höher stehen als bei *A*. Sind aber gleiche Summen herausgekommen,
10 so waren *A* und *B* gleich hohe Punkte, d. h. sie lagen in derselben dem Horizonte parallelen Ebene. Auch in diesem Fall aber ist es möglich das Wasser hinzuleiten. Wenn aber die Summe des Abstiegs kleiner war, dann ist es unmöglich, daſs das Wasser von selbst flieſst; wir be-
15 dürfen daher in diesem Falle einer Schöpfvorrichtung. Das Schöpfen geschieht, falls der Ort sehr viel tiefer lag, vermittelst eines Systems von Eimern oder der sogenannten Kette; lag er nur wenig tiefer, entweder vermittelst Schrauben oder durch die parallelen Räder.
20 Auch die Punkte in der Mitte, durch die wir das Wasser durchzuleiten projektiert haben, werden wir vermittelst derselben Methode darauf untersuchen, wie sie sich zu einander und zu den ursprünglich gegebenen Örtern verhalten, indem wir annehmen, die genannten
25 Punkte in der Mitte seien die ursprünglich gegebenen; denn dies wird durchaus keinen Unterschied machen. Man muſs aber noch, nachdem man die ganze Länge ausgerechnet hat, untersuchen, welche Quote des gesamten Gefälls an jedem Punkte erreicht sein muſs, und darauf-
30 hin an den Stellen in der Mitte Zeichen und Grenzsteine mit Inschriften aufschütten oder aufbauen, damit die Arbeiter sich in keinem Punkte irren können.

σημεῖον: corr. Vi 16 *ἔλαττον* 18 *ἐγίνετο*: correxi. de organis ad hauriendam aquam inventis Vitruvius exponit X, 9 sq. 27 *ἐν* ex *αν* fec. m. 1 27—28 *ἐν τῷ σταδίῳ*: non extricavi 28 *κλίματος* corruptum: f. *ῥεύματος*

[καὶ] ἐπιγραφὰς ἔχοντας συγχωννύειν ἢ προσανοικοδομεῖν πρὸς τὸ τοὺς ἐργαζομένους ἐν μηδενὶ πλανᾶσθαι. ἀχθήσεται δὲ τὸ ὑγρὸν οὐ διὰ τῆς αὐτῆς ὁδοῦ, δι' ἧς καὶ τὸ κλίμα ἐπέγνωμεν, ἀλλὰ δι' ἑτέρας εὐθετούσης πρὸς τὸ ὑδραγώγιον. πολλάκις γὰρ ἐμποδὼν ἵσταταί τι, ἢ 5 ὄρος σκληρότερον ἢ μετεωρότερον ἢ χαῦνοι τόποι ἢ θειώδεις ἢ τοιοῦτοί τινες τόποι βλάπτοντες τὸ ὕδωρ. p. 202 τοιούτοις ὅταν περιτύχωμεν, ἐκνεύσομεν, ὥστε κατὰ μηδὲν βλάπτεσθαι τὴν τοῦ ὕδατος ἀγωγήν. ἕνεκα δὲ καὶ τοῦ μὴ μακροτέραν ὁδὸν φερόμενον τὸ ὕδωρ εἰς 10 μείζονα δαπάνην ἐκπίπτειν δείξομεν ἑξῆς, ὡς δυνατὸν ἔσται τὴν ἐπὶ τὰ δύο σημεῖα ἐπιζευγνυμένην εὐθεῖαν εὑρίσκειν· αὕτη γὰρ ἐλαχίστη ἐστὶν πασῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν (Archimed. de sph. et cyl. I post. 1 t. I p. 8, 23 Heib.). εἶτα ὅταν ἐν ταύτῃ 15 τῇ ὁρισθείσῃ ἐμπέσῃ ⟨τι⟩ τῶν εἰρημένων ἀτόπων, τότε ἐκεῖνο ἐκνεύσομεν.

ζ. Ἀπὸ τοῦ δοθέντος σημείου ἐπὶ τὸ δοθὲν σημεῖον, p. 204 ἀθεώρητον ὑπάρχον, εὐθεῖαν ἐπιζεῦξαι διὰ διόπτρας, ἡλίκον ἂν ᾖ τὸ μεταξὺ τῶν σημείων διάστημα. ἔστω 20 γὰρ δοθέντα δύο σημεῖα τὰ A, B, καὶ κατεσκευάσθω ἡ διόπτρα ἡ δυναμένη ἐπίπεδα πρὸς ὀρθὰς ἀλλήλοις διοπτεύειν, καὶ κείσθω πρὸς τῷ A· καὶ εἰλήφθω διὰ τῆς διόπτρας ἐν τῷ ἐπιπέδῳ εὐθεῖα ἡ $A\Gamma$, ἡλίκην ἂν βουλώμεθα τῷ μεγέθει. καὶ μετακείσθω ἡ διόπτρα 25 ⟨πρὸς τῷ Γ, καὶ τῇ $A\Gamma$ πρὸς ὀρθὰς ἤχθω ἡ $\Gamma\Delta$, ἡλίκη ἂν ᾖ τῷ μεγέθει. καὶ ὁμοίως μετακείσθω ἡ διόπτρα⟩ fol. 66r πρὸς τῷ Δ, καὶ τῇ $\Gamma\Delta$ πρὸς ὀρθὰς | ἡ ΔE, ἡλίκη ἂν ᾖ τῷ μεγέθει. καὶ πάλιν μετακείσθω ἡ

1 [καὶ] del. Vi   3 αὐτῆς οὐδὲ δι' ἧς: corr. Vi   7 θειοειδεις: corr. Vi   τόποι f. delendum   8 τοιούτους: correxi ἐκνεύ-

Das Wasser wird jedoch nicht denselben Weg entlang geleitet werden, auf dem wir die Neigung ermittelt haben, sondern auf einem andern, der zur Wasserleitung geeignet ist. Denn oft steht irgend etwas im Wege, ein
5 Berg, der entweder aus recht hartem Stein besteht oder recht hoch ist, oder Stellen, die locker oder schwefelhaltig sind oder irgend eine ähnliche Eigenschaft haben und das Wasser verderben. Wenn wir auf solche treffen, so werden wir vor ihnen ausbiegen, so daſs die Wasserleitung
10 durch nichts beeinträchtigt wird.

Damit nun aber das Wasser, wenn es einen längeren Weg flieſst, nicht allzu groſse Verluste erleidet, so wollen wir im folgenden zeigen, wie es möglich sein wird die Gerade, welche die beiden Punkte verbindet, zu finden.
15 Denn diese ist die kürzeste von allen Linien, die dieselben Endpunkte haben. Wenn dann auf diese von uns bestimmte Linie eines der angegebenen Hindernisse fällt, so werden wir diesem ausbiegen.

VII. Von einem gegebenen Punkt auf einen anderen,
20 nicht sichtbaren Punkt, bei beliebigem Abstand der beiden Punkte vermittels der Dioptra eine Gerade zu ziehen.

Es seien 2 Punkte A und B gegeben und es sei diejenige Dioptra, welche Ebenen im rechten Winkel durchzuvisieren vermag, hergerichtet, und sie stehe bei A.
25 Nun sei mittels der Dioptra in der Ebene die Gerade $A\Gamma$ von beliebiger Gröſse bestimmt. Und die Dioptra werde nach Γ umgestellt und zu $A\Gamma$ die Senkrechte $\Gamma\Delta$ von beliebiger Gröſse gezogen. Ebenso werde die Dioptra nach Δ umgestellt und zu $\Gamma\Delta$ die Senkrechte ΔE von
30 beliebiger Gröſse gezogen. Wiederum werde die Dioptra nach E umgestellt und die Senkrechte EZ gefällt und in ähnlicher Weise ein beliebiger Punkt Z bestimmt, und zu ZE die Senkrechte ZH gezogen und ein beliebiger

σωμεν 16 ⟨τι⟩ add. Vi ἀτόπων: f. ἀπόρων 21 κατασκευάσθω: corr. Vi 23 πρὸς το Α: corr. Vi 26—27 supplevit Vi, nisi quod εἴη pro ἦ posuit 29 εἴ ἦι: sed ει delevit iam man. 1

*διόπτρα πρὸς τῷ Ε, καὶ πρὸς ὀρθὰς ἡ ΕΖ· καὶ ὁμοίως
τυχὸν εἰλήφθω τὸ Ζ. καὶ τῇ ΖΕ πρὸς ὀρθὰς ἡ ΖΗ,
καὶ τυχὸν τὸ Η· καὶ τῇ ΖΗ πρὸς ὀρθὰς ἡ ΗΘ, καὶ
τυχὸν τὸ Θ· καὶ τῇ ΗΘ πρὸς ὀρθὰς ἡ ΘΚ, καὶ τυχὸν
τὸ Κ· καὶ τῇ ΘΚ πρὸς ὀρθὰς ἡ ΚΛ· καὶ τοῦτο γινέ-* 5
*σθω, ἄχρις ἂν ὀφθῇ τὸ Β σημεῖον. γεγονέτω, καὶ
παραγέ[γενή]σθω ἡ διόπτρα ἐπὶ τῆς ΚΛ, ἕως οὗ διὰ
τῆς ἑτέρας ἐ⟨ν⟩ αὐτῇ εὐθείας φανῇ τὸ Β. πεφηνέτω
οὔσης τῆς διόπτρας κατὰ τὸ Λ. ἅμα δὴ διοπτεύοντες
γράψομεν ἐν χάρτῃ ἢ δέλτῳ τό τε σχῆμα τοῦ διοπ-* 10
*τρισμοῦ, τουτέστιν τὰς κλάσεις τῶν εὐθειῶν, καὶ ἔτι
τὰ μεγέθη ἑκάστης αὐτῶν ἐπιγράψομεν. ἔστω οὖν ἡ
μὲν ΑΓ πηχῶν εὑρημένη λόγου χάριν κ· ἡ δὲ ΓΔ
πηχῶν κβ· ἡ δὲ ΔΕ πηχῶν ις· ἡ δὲ ΕΖ πηχῶν λ·
ἡ δὲ ΖΗ πηχῶν ιδ· ἡ δὲ ΗΘ πηχῶν ιβ· ἡ δὲ ΘΚ* 15
*πηχῶν ξ· ἡ δὲ ΚΛ πηχῶν η· ἡ δὲ ΛΒ πηχῶν ν.
τούτων δὲ οὕτως ἐχόντων νενοήσθω τῇ ΑΓ πρὸς*
p. 206 *ὀρθὰς ἠγμένη ἡ ΑΜ καὶ ἐκβεβλημέναι αἱ ΛΒ, ΚΘ,
ΖΗ, ΕΔ ἐπὶ τὰ ⟨Μ⟩, Ν, Ξ, Ο· αἱ δὲ ΕΖ, ΗΘ,
ΓΔ ἐπὶ τὰ Π, Ρ, Σ. ἔσται ἄρα διὰ τοὺς ἐπικειμένους* 20
*ἀριθμοὺς ἡ μὲν ΑΟ πηχῶν κβ, ἐπεὶ καὶ ἡ ΓΔ· ἡ δὲ
ΟΞ λ, ἐπεὶ καὶ ἡ ΕΖ· ἡ δὲ ΞΝ ιβ, ἐπεὶ καὶ ἡ ΗΘ·
ἡ δὲ ΜΝ η, ἐπεὶ καὶ ἡ ΚΛ· ὥστε ὅλη ἡ ΑΜ ἔσται
πηχῶν οβ. πάλιν δὲ ἔσται ἡ μὲν ΜΣ πηχῶν κ, ἐπεὶ
καὶ ἡ ΑΓ· ἡ δὲ ΠΣ πηχῶν ις, ἐπεὶ καὶ ἡ ΔΕ· ἡ δὲ* 25
*ΠΡ πηχῶν ιδ, ἐπεὶ καὶ ἡ ΖΗ. λοιπὴ ἄρα ἡ ΡΣ
ἔσται πηχῶν β· ὅλη ἄρα ἡ ΡΜ ἔσται πηχῶν κβ.
πάλιν δὲ ἔσται ἡ ΡΛ πηχῶν ξ, ἐπεὶ καὶ ἡ ΚΘ· ὧν*

---

7 *παραγεγενήσθω*: correxi 8 *ἑτέρας ἑαυτῇ*: correxi
16 *ἡ δὲ* $\overline{ΛΕ}$: corr. Vi 22 ante *πάλιν* verba *ἐπεὶ καὶ ἡ
ΗΘ* delevit m. 1

Punkt H genommen, und zu ZH die Senkrechte $H\Theta$ gezogen und ein beliebiger Punkt Θ genommen, und zu $H\Theta$ die Senkrechte ΘK gezogen und ein beliebiger Punkt K genommen, und zu ΘK die Senkrechte $K\Lambda$ gezogen.
5 Und dies werde so lange fortgesetzt, bis der Punkt B sichtbar wird. Es sei geschehen, und die Dioptra werde




Fig. 87.

auf der Linie $K\Lambda$ hingetragen, bis durch die andere der auf ihr befindlichen Geraden[1]) der Punkt B gesehen wird. Wir nehmen an, er sei gesehen worden, und zwar in dem
10 Augenblick, wo die Dioptra bei Λ steht.

Während des Visiergeschäfts nun werden wir auf ein Papier oder Täfelchen die Gestalt der Visieraufgabe d. h.

1) Gemeint ist eine der zwei aufeinander senkrecht stehenden Linien, welche in die große obere Kreisplatte des Instrumentes eingegraben sind (Fig. 83 b).

ἡ *ΠΡ* πηχῶν ιδ· λοιπὴ ἄρα ἡ *ΑΠ* πηχῶν μϛ· ὅλη δὲ ἡ *ΑΒ* πηχῶν ν· λοιπὴ οὖν ἡ *ΠΒ* πηχῶν δ· λοιπὴ ἄρα ἡ *ΒΡ* πηχῶν ι. ἀλλὰ ἡ *ΡΜ* πηχῶν κβ· ὅλη ἄρα ἡ *ΜΒ* ἔσται πηχῶν λβ. ἀλλὰ καὶ ἡ *ΑΜ* πηχῶν οβ· λόγος ἄρα τῆς *ΑΜ* ⟨πρὸς τὴν *ΜΒ*⟩, ὃν ἔχει τὰ οβ 5 πρὸς λβ. τούτου δὲ εὑρεθέντος ἀπειλήφθω ⟨ἐπὶ τῆς *ΑΜ*⟩ ἡ *ΑΤ* πηχῶν, εἰ τύχοι, θ, καὶ ταύτῃ πρὸς ὀρθὰς ἡ *ΤΥ*· καὶ πεποιήσθω ὡς τὰ οβ πρὸς λβ, ἡ *ΑΤ*, τουτέστιν οἱ θ πήχεις, πρὸς ἄλλον τινά· γίνεται δὲ πηχῶν δ· ⟨ἀπειλήφθω οὖν ἡ *ΤΥ* πηχῶν δ.⟩ ἔσται 10 οὖν τὸ *Υ* ἐπὶ τῆς ζευγνυούσης τὰ *Α*, *Β* σημεῖα. πάλιν δὲ τῇ *ΥΤ* πρὸς ὀρθὰς ἡ *ΥΦ*, καὶ ἀπειλήφθω, εἰ τύχοι, πηχῶν ιη· καὶ ταύτῃ πρὸς ὀρθὰς ἡ *ΦΧ*· καὶ πεποιήσθω | fol. 66v ὡς τὰ οβ πρὸς λβ, οὕτως οἱ ιη πήχεις πρὸς ἄλλον τινά· [καὶ] γίνεται δὲ πρὸς η. ἀπειλήφθω οὖν ἡ *ΦΧ* πηχῶν 15 η· καὶ ἔσται τὸ *Χ* ἐπὶ τῆς ζευγνυούσης τὰ *Α*, *Β* σημεῖα. ὡσαύτως οὖν διὰ τῆς διόπτρας ⟨πρὸς ὀρθὰς⟩ ἄγοντες καὶ ἐν τῷ αὐτῷ λόγῳ ποιοῦντες ἕξομεν συνεχῆ σημεῖα ἐπὶ τῆς ζητουμένης εὐθείας τῆς *ΑΒ*.

p. 208 η. Δύο σημείων δοθέντων, οὗ μὲν πρὸς ἡμᾶς, οὗ δὲ 20 πόρρω, τὸ μεταξὺ αὐτῶν διάστημα λαβεῖν τὸ πρὸς διαβήτην, μὴ προσεγγίσαντα τῷ πόρρω σημείῳ. ἔστω τὰ δοθέντα δύο σημεῖα τὰ *Α*, *Β*· καὶ τὸ μὲν *Α* πρὸς ἡμᾶς, τὸ δὲ *Β* πόρρω κείσθω· ἡ δὲ διόπτρα ἢ τὸ ἡμικύκλιον ἔχουσα πρὸς τῷ *Α*· καὶ ἐπεστράφθω ὁ κανὼν ὁ ἐπὶ τῷ 25 τυμπάνῳ, ἄχρις ἂν φανῇ τὸ *Β*. εἶτα ἀντιπεριστὰς ἐπὶ τὸ ἕτερον μέρος τοῦ κανόνος ἀνανεύω τὸ ἡμικύκλιον,

---

5 et 6 suppl. Vi 6—7 supplevi 7 η τύχοι 10 add. R. Schoene 13 πήχεις ιη: correxi 14 προς ἄλλον ταν ϛ καὶ: τινά Vi, καὶ delevi 17 supplevi 21 πρὸς διαβήτην: cf. Buecheler *Litteraturzeitung* 1874, 609; Hero Spiritalia p. 146, 4 Schmidt 26 τυμπανῳ: τυμπανίῳ Vi perperam

die Brechungen der Geraden aufzeichnen und weiter noch die Gröſse jeder derselben dazubemerken. Es sei nun beispielsweise $A\Gamma = 20$ Ellen gefunden, $\Gamma\Delta = 22$, $\Delta E = 16$, $EZ = 30$, $ZH = 14$, $H\Theta = 12$, $\Theta K = 60$, $K\Lambda = 8$, $\Lambda B = 50$.

Unter diesen Umständen denke man zu $A\Gamma$ die Senkrechte AM gezogen und die Linien ΛB, $K\Theta$, ZH, $E\Delta$ nach M, N, Ξ, O verlängert, die Linien EZ, $H\Theta$, $\Gamma\Delta$ nach Π, P und Σ verlängert. Es wird also wegen der beigesetzten Zahlen $AO = 22$ Ellen sein, da auch $\Gamma\Delta = 22$ Ellen; $O\Xi = 30$, da auch $EZ = 30$; $\Xi N = 12$, da auch $H\Theta = 12$; $MN = 8$, da auch $K\Lambda = 8$. Die ganze Strecke AM wird daher $= 72$. Wiederum aber wird $M\Sigma = 20$ Ellen sein, da auch $A\Gamma = 20$ Ellen; $\Pi\Sigma = 16$ Ellen, da auch $\Delta E = 16$ Ellen; $\Pi P = 14$ Ellen, da auch $ZH = 14$ Ellen. Es wird also der Rest $P\Sigma = 2$ Ellen, die ganze Strecke PM also $= 22$ Ellen. Wiederum wird $P\Lambda = 60$ Ellen sein, da auch $K\Theta = 66$ Ellen, wovon $\Pi P = 14$ Ellen. Der Rest $\Lambda\Pi$ wird daher $= 46$ Ellen sein, die ganze Strecke ΛB also $= 50$ Ellen. Der Rest ΠB wird nun $= 4$ Ellen, der Rest BP also $= 10$ Ellen sein. Es ist aber $PM = 22$ Ellen, die ganze Strecke MB wird also $= 32$ Ellen sein. Nun ist aber $AM = 72$ Ellen. Also $AM : MB = 72 : 32$.

Nachdem dies gefunden, werde auf AM die Strecke AT beispielsweise $= 9$ Ellen abgetragen und im rechten Winkel dazu $T\Upsilon$ gezogen. Und es sei

$$72 : 32 = AT : x = 9 : x$$
$$x = 4$$

Υ wird nun auf der die Punkte A und B verbindenden Geraden liegen. Wiederum ziehe man im rechten Winkel zu ΥT die Geraden $\Upsilon\Phi$ und trage beispielsweise 18 Ellen ab und ziehe dazu im rechten Winkel ΦX. Dann ist

$$72 : 32 = 18 : x$$
$$x = 8.$$

τῶν ἄλλων ἀκινήτων μενόντων, καὶ λαμβάνω σημεῖον ἐν τοῖς πρὸς ἡμᾶς μέρεσι τὸ Γ ἐπ' εὐθείας τοῖς Α, Β κείμενον. εἶτα τῇ ΒΓ ἀπὸ τοῦ Α πρὸς ὀρθὰς ἄγω διὰ τῆς διόπτρας τὴν ΑΔ, καὶ ἑτέραν ἀπὸ τοῦ Γ διὰ τῆς διόπτρας τὴν ΓΕ, καὶ ἔλαβον ἐπ' αὐτῆς τυχὸν τὸ Ε· καὶ μεταθεὶς τὴν διόπτραν πρὸς τὸ Ε κατέστησα τὸν κανόνα, ὥστε δι' αὐτοῦ φανῆναι τὸ Β σημεῖον, καὶ ἕτερον ἐπὶ τῆς ΑΔ τὸ Δ ἐπ' εὐθείας τοῖς Β, Ε. γίνεται δὴ τρίγωνον τὸ ΒΓΕ παράλληλον ἔχον τὴν ΑΔ τῇ ΓΕ· ἔστιν ἄρα ὡς ἡ ΓΕ πρὸς ΑΔ, οὕτως ἡ




Fig. 88.

ΓΒ πρὸς ΒΑ· ἐχ[έτ]ω δὲ τὸν τῆς ΓΕ πρὸς ΑΔ λόγον ἐπιγνῶναι ἑκατέραν αὐτῶν μετρήσας πρὸς διαβήτην, ὡς προδέδεικται. ἔστω οὖν, εἰ τύχοι, εὑρημένη πενταπλῆ ἡ ΓΕ τῆς ΑΔ· ἔσται ἄρα ἡ ΒΓ τῆς ΒΑ πενταπλῆ· ἡ ἄρα ΓΑ τῆς ΑΒ τετραπλῆ. ἔχω δὲ μετρῆσαι τὴν ΑΓ πρὸς διαβήτην· ὥστε δυνατὸν εὑρεθῆναι καὶ τὴν ΑΒ πρὸς διαβήτην, ἡλίκη ἐστίν.

p. 210 *θ. Ποταμοῦ πλάτος τι τὸ ἐλάχιστον λαβεῖν, πρὸς τῇ μιᾷ ὄχθῃ ὄντας. ἔστωσαν αἱ τοῦ ποταμοῦ ὄχθαι αἱ*

---

2 *τῆς ΑΒ*: correxi 6 *πρὸς τῷ*: correxi 11 *ἐχέτω*: correxi 13—14 *εἰ τύχηι ευραμενη*: corr. Vi 18 *τι* (ex *τη* rasura factum) *ἐλάχιστον λαβεῖν καὶ τη*: correxi; *πλάτος τῇ διόπτρᾳ λαβεῖν* Vi compendio deceptus 19 *οντος*: corr. Vi

Nun trage man $\Phi X = 8$ ab, und der Punkt X wird auf der die Punkte A und B verbindenden Geraden liegen. Indem wir nun in derselben Weise vermittelst der Dioptra Senkrechte ziehen und in dasselbe Verhältnis bringen, 5 werden wir eine Reihe von Punkten, die auf der gesuchten Geraden AB liegen, erhalten.

VIII. Wenn zwei Punkte, der eine bei unserm Standort, der andere in der Ferne, gegeben sind, ihren Abstand in horizontaler Ebene zu finden, ohne sich dem Punkte in 10 der Ferne zu nähern.

Es seien A und B die gegebenen Punkte, und zwar liege A bei unserm Standort, B in der Ferne, die Dioptra aber mit dem Halbkreise bei A. Man drehe nun das Visierlineal auf der grofsen Kreisschreibe so lange, bis B 15 sichtbar wird. Ich trete sodann nach dem anderen Teile des Visierlineals herum, drehe den Halbkreis, während die übrigen Teile des Instrumentes unbeweglich bleiben, und bestimme nach unserer Seite zu den Punkt Γ, der mit AB auf einer und derselben Geraden liegt. Dann ziehe 20 ich zu $B\Gamma$ von A aus vermittelst der Dioptra die Gerade $A\Delta$ und von Γ aus vermittelst der Dioptra eine andere Gerade ΓE und nehme auf ihr einen beliebigen Punkt E. Ich setze darauf die Dioptra nach E um und stelle das Visierlineal so, dafs der Punkt B durch dasselbe sicht- 25 bar ist, und nehme auf $A\Delta$ einen andern Punkt Δ an, der auf der Geraden BE liegt. Es entsteht also ein Dreieck $B\Gamma E$, in welchem $A\Delta$ parallel ΓE ist. Er verhält sich also: $\Gamma E : A\Delta = \Gamma B : BA$. Ich kann nun aber das Verhältnis $\Gamma E : A\Delta$ ermitteln, wenn ich jede der 30 beiden Geraden in horizontaler Ebene, wie vorher gezeigt ist, messe. Es sei nun beispielsweise gefunden, dafs $\Gamma E = 5\ A\Delta$ ist. Also wird $B\Gamma = 5\ BA$ sein, also $\Gamma A = 4\ AB$. Ich vermag aber $A\Gamma$ in horizontaler Ebene zu messen. Es ist daher möglich, auch die Gröfse von 35 AB in horizontaler Ebene zu ermitteln.

IX. Die geringste Breite eines Flusses zu ermitteln, wenn man sich auf dem einen Ufer desselben befindet.

fol. 67r *ΑΒ, ΓΔ. στήσας οὖν τὴν διόπτραν πρὸς | τῇ ΓΔ ὄχθῃ, ὡς ἐπὶ τὸ Ε, ἐπέστρεψα τὸν κανόνα, ἄχρις ἂν φανῇ δι' αὐτοῦ σημεῖον ἐπὶ τῆς ΓΔ ὄχθης τὸ Δ. καὶ τῇ ΕΔ διὰ τῆς διόπτρας πρὸς ὀρθὰς ἤγαγον τὴν ΕΖ ἐπιστρέψας τὸν κανόνα. εἶτα ἐγκλίνω τὸ ἡμικύκλιον,* 5 *ἄχρις ἂν ἐπὶ τῆς ΑΒ ὄχθης φανῆτι σημεῖον διὰ τοῦ κανόνος. πεφηνέτω τὸ Ζ· ἔσται δὴ* 10 *τὸ ἐλάχιστον*



Fig. 89.

πλάτος τοῦ ποταμοῦ τὸ ΕΖ· ἡ γὰρ ΕΖ ὡσανεὶ κάθε-
p. 212 *τός ἐστιν ἐπ' ἀμφοτέρας τὰς ὄχθας, εἴπερ παραλλή-λους αὐτὰς ἐννοοίμεθα. ὡς οὖν ἐμάθομεν ἐπάνω,* 15 *εἰλήφθω τὸ ἀπὸ τοῦ Ε διάστημα ἐπὶ τὸ Ζ τὸ πρὸς διαβήτην, ὃ καὶ ἀποφανούμεθα ἐλάχιστον εἶναι τοῦ ποταμοῦ πλάτος.*

p. 214 *ι. Δύο δοθέντων σημείων πόρρω ὁρωμένων εὑρεῖν τὸ μεταξὺ διάστημα αὐτῶν τὸ πρὸς διαβήτην καὶ ἔτι* 20 *τὴν θέσιν. ἔστω τὰ δοθέντα δύο σημεῖα τὰ Α, Β· καὶ καθεστάσθω ἡ διόπτρα ἐν τοῖς πρὸς ἡμᾶς μέρεσιν*
p. 216 *πρὸς τῷ Γ καὶ ἐπεστράφθω ὁ κανὼν, ἄχρις ἂν δι' αὐτοῦ φανῇ τὸ Α σημεῖον· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τοῦ κανόνος ἡ ΑΓ. ταύτῃ πρὸς ὀρθὰς ἤγαγον διὰ τῆς* 25 *διόπτρας τὴν ΓΔ, καὶ παράγω ἐπ' αὐτῆς τὴν διόπτραν, ἄχρις ἂν διὰ ⟨τῆς πρὸς ὀρθὰς θέσεως⟩ τοῦ κανόνος φανῇ τὸ Β σημεῖον. τετυχέτω οὖν ἡ διόπτρα πρὸς*

2 ἐπὶ τὸ: f. ἐπὶ τοῦ 4 τῆς ΕΔ: corr. Vi 8 τὸ σημεῖον: correxi 15 f. ἐννοούμεθα 17 ἐλάχιστον: ζητούμενον Vi 23 τὸ Γ: correxi 27 hiatum explevi

Die Ufer des Flusses seien AB und $\Gamma\Delta$. Ich stelle nun die Dioptra auf dem Ufer $\Gamma\Delta$, beispielsweise in E, auf und drehe das Visierlineal so lange, bis durch dasselbe ein Punkt Δ auf dem Ufer $\Gamma\Delta$ sichtbar wird. Sodann ziehe ich vermittelst der Dioptra im rechten Winkel zu $E\Delta$ die Gerade EZ, nachdem ich das Visierlineal (um 90^0) gedreht habe. Ich neige sodann den Halbkreis, bis auf dem Ufer AB irgend ein Punkt durch das Visierlineal hindurch sichtbar wird. Es erscheine Z. Die geringste Breite des Flusses wird daher $= EZ$ sein, denn EZ ist sozusagen eine Senkrechte auf beiden Uferlinien, wenn wir sie uns als parallel vorstellen. Es werde nun, wie wir es oben gelernt haben, der Abstand von E nach Z in horizontaler Ebene bestimmt, den wir dann auch als die geringste Breite des Flusses angeben werden.

X. Wenn zwei in der Ferne sichtbare Punkte gegeben sind, den Zwischenraum zwischen ihnen in horizontaler Ebene und ferner noch ihre Lage zu finden.

Die beiden gegebenen Punkte seien A und B, und die Dioptra werde bei unserem Standorte bei Γ aufgestellt, und ihr Visierlineal so lange gedreht, bis der Punkt A




Fig. 90 a.

durch dasselbe sichtbar wird. Die durch das Visierlineal gehende Linie $A\Gamma$ ist also eine Gerade. Zu dieser ziehe ich vermittelst der Dioptra im rechten Winkel die Gerade $\Gamma\Delta$ und führe auf ihr die Dioptra hin, bis durch Drehung des Lineals um einen rechten Winkel der Punkt B sicht-

τὸ Ε· ἡ ἄρα ΒΕ τῇ ΓΔ πρὸς ὀρθάς ἐστιν· παράλ-
ληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ ΒΕ. μετρῶ οὖν τὸ ἀπὸ
τοῦ Γ διάστημα ἐπὶ τὸ Α, ὡς ἐμάθομεν ἐπάνω, καὶ
πάλιν τὸ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Β. καὶ εἰ μὲν ἴσον ἐστὶν
τὸ ΓΑ διάστημα τῷ ΒΕ, ἀποφανοῦμαι καὶ τὸ ΓΕ 5
διάστημα ἴσον τῷ ΑΒ· δυνάμεθα δὲ τὸ ΓΕ μετρῆσαι,
ἐν γὰρ τοῖς πρὸς ἡμᾶς ἐστι μέρεσι. μὴ ἔστω δὲ ἴσον,
ἀλλ' ἔστω ἔλασσον τὸ ΒΕ διάστημα τοῦ ΓΑ, εἰ τύχοι,
πήχεσι κ· ἀπέλαβον οὖν ἀπὸ τοῦ Ε ἐπὶ τῆς ΒΕ ἐν
τοῖς πρὸς ἡμᾶς πήχεις κ τὴν ΕΖ. ἔσται δὴ ἴση ἡ ΑΓ 10
τῇ ΒΖ τῷ μεγέθει· ἔστιν δὲ καὶ παράλληλος αὐτῇ·
ὥστε καὶ ἡ ΑΒ τῇ ΓΖ ἴση τέ ἐστι καὶ παράλληλος.
δυνάμεθα δὲ μετρῆσαι τὴν ΓΖ, ὥστε καὶ τὴν ΑΒ· καὶ
φανερόν, ὅτι καὶ τὴν θέσιν, τὴν γὰρ παράλληλον αὐτῆς,
εὕραμεν. 15

Δυνατὸν δέ ἐστι καὶ ἄλλως λαβεῖν τὸ μεταξὺ τῶν
Α, Β διάστημα. ἔστησα τὴν διόπτραν ἐφ' οὗ βούλομαι
σημείου· ἔστω δὴ τοῦ Γ. καὶ ἔλαβον διὰ τῆς διόπτρας
τὴν ΓΑ, καὶ ὁμοίως ἑτέραν τὴν ΓΒ, καὶ ἐμέτρησα
ἑκατέραν τῶν ΓΑ, ΓΒ καὶ ἔλαβον ἀπὸ τοῦ Γ μέρος 20
fol. 67v τι τῆς ΓΑ, οἱονεὶ | δέκατον, τὴν ΔΓ, καὶ τὸ αὐτὸ
μέρος τῆς ΓΒ, τὴν ΓΕ· ἔσται δὴ καὶ ἡ ⟨τὰ⟩ Δ, Ε
ἐπιζευγνύουσα μέρος ⟨δέκατον⟩ τῆς ΑΒ καὶ παράλληλος
αὐτῇ. δύναμαι ⟨δὲ⟩ μετρῆσαι τὴν ΔΕ ἐν τοῖς πρὸς
ἡμᾶς μέρεσιν οὖσαν· ἔχω ἄρα καὶ τῆς ΑΒ καὶ τὴν 25
θέσιν καὶ τὸ μέγεθος.

Δυνατὸν δέ ἐστιν καὶ ἄλλως τὸ ΑΒ διάστημα λαβεῖν.

---

9 τοῖς ΒΕ: corr. Vi 10 f. ἡμᾶς ⟨μέρεσι⟩ 13 τη ΓΔ: corr. Vi 14 f. θέσιν ⟨ἔχομεν⟩ 14 f. αὐτῇ 15 εὕραμεν: εὕρομεν Vi 18 δι' ἀν: sed ν del. m. 1 22 τῆς ΓΕ την ΓΕ: corr. Vi suppl. Vi 23 supplevi 24 supplevi

bar wird. Die Dioptra befinde sich gerade bei E, also bildet BE mit $\Gamma\Delta$ einen rechten Winkel; also ist $A\Gamma$ parallel BE. Ich messe nun den Abstand von Γ bis A, wie wir es oben gelernt haben, und wiederum den Abstand
5 von E bis B. Wenn nun der Abstand ΓA gleich dem Abstand BE ist, so werde ich auch ΓA für gleich groſs mit AB erklären. Wir können aber ΓE messen, denn es liegt nach unsrer Seite zu. Der Abstand sei jedoch nicht gleich, sondern der Abstand BE sei beispielsweise um
10 20 Ellen kleiner als ΓA. Ich trage nun von E aus auf der Geraden BE auf unserer Seite 20 Ellen $= EZ$ ab. Es wird daher die Gerade $A\Gamma$ an Gröſse gleich BZ sein; sie ist ihr aber auch parallel. Daher wird auch AB gleich und parallel ΓZ sein. Wir vermögen aber ΓZ,
15 daher auch AB, zu messen, und es ist klar, daſs wir auch ihre Lage kennen, denn wir fanden ja eine Parallele dazu.

Es ist aber möglich, den Abstand der Punkte A und B auch noch auf andere Weise zu finden.

20 Ich stelle die Dioptra, auf welchem Punkt ich will, — es sei Γ — auf. Nun ziehe ich vermittelst der Dioptra die Gerade ΓA und in ähnlicher Weise die Gerade ΓB und messe jede der beiden Linien ΓA
25 und ΓB. Sodann bestimme ich von Γ aus einen gewissen Teil, beispielsweise den zehnten,
30 von ΓA, nämlich $\Delta\Gamma$, und denselben Teil von ΓB, nämlich ΓE. Es wird also auch die die Punkte Δ und E verbindende Gerade der zehnte Teil von AB und dieser
35 Linie parallel sein. Ich vermag nun ΔE zu messen, da es auf unserer Seite liegt. Ich habe also auch von AB sowohl die Lage als auch die Gröſse.




Fig. 90 b.

p. 218 *ἔστησα τὴν διόπτραν πρὸς τῷ Γ καὶ ἔλαβον τῆς ΑΓ μέρος ⟨τι⟩, τὴν δὴ ΓΔ, ἐπ' εὐθείας τῇ ΑΓ καὶ ὁμοίως τῆς ΒΓ τὸ αὐτὸ μέρος τὴν ΓΕ, ἐπ' εὐθείας τῇ ΒΓ.*




Fig. 90 c.

ἔσται δὴ καὶ ἡ ΕΔ τὸ αὐτὸ μέρος τῆς ΑΒ καὶ παράλληλος αὐτῇ. δυνατὸν δὲ μετρῆσαι τὴν ΔΕ· ὥστε 5 *εὕρηται τῆς ΑΒ ἡ θέσις καὶ τὸ μέγεθος.*

ια. Τῇ δοθείσῃ εὐθείᾳ πρὸς ὀρθὰς ἀγαγεῖν ἀπὸ τοῦ πέρατος αὐτῆς, μὴ προσεγγίσαντα μήτε τῇ εὐθείᾳ μήτε τῷ πέρατι. ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ ἐπὶ τὰ Α, Β σημεῖα ἐπιζευγνυμένη· ἀφ' οὗ δὲ δεῖ τὴν πρὸς ὀρθὰς 10 p. 220 *ἀγομένην εὑρεῖν, ἔστω τὸ Α. εὑρήσθω ἡ θέσις τῆς ΑΒ ἐν τοῖς πρὸς ἡμᾶς τόποις, ὡς ἐμάθομεν· καὶ ἔστω ἡ ΓΔ εὐθεῖα. παράγω οὖν τὴν διόπτραν ἐπὶ τῆς ΓΔ εὐθείας διατηρῶν τὸν κανόνα ἀεὶ ἀποβλέποντα σημείῳ τινὶ τῶν ἐπὶ τῆς ΓΔ, ἄχρις ἂν ἐπιστραφεὶς ἐπὶ τὴν* 15 *πρὸς ὀρθὰς θέσιν ἴδῃ τὸ Α σημεῖον. τετυχέτω οὖν ἡ διόπτρα πρὸς τὸ Ε σημεῖον· ἔσται δὴ πρὸς ὀρθὰς εἶναι τὴν ΑΕ.*

ιβ. Σημείου ὁρωμένου εὑρεῖν τὴν ἀπ' αὐτοῦ κάθετον ἀγομένην ἐπὶ τὸ δι' ἡμῶν ἐκβαλλόμενον ἐπίπεδον 20

---

1 post *μέρος* spatium 2 litterarum 1—2 *τὴν δὲ ΓΔ ἐπ' εὐθείας*: correxi 7 f. ⟨*ἄλλην*⟩ *πρὸς* 13 *ἡ ΓΔ*: corr. Vi 13—14 *τὴν ΓΔ εὐθεῖαν*: correxi 16 *ειδη*: corr. Vi 17 *προς τω*: corr. Vi

Es ist möglich, den Abstand AB noch auf eine andere Art und Weise zu bestimmen.

Ich stelle die Dioptra bei Γ auf und bestimme einen beliebigen Teil von $A\Gamma$, nämlich $\Gamma\Delta$, auf einer und derselben Geraden mit $A\Gamma$, und in ähnlicher Weise denselben Teil von $B\Gamma$, nämlich ΓE, auf einer und derselben Geraden mit $B\Gamma$. Also wird auch die Gerade $E\Delta$ ebenderselbe Teil von AB und ihr parallel sein. Nun ist es möglich ΔE zu messen, so daſs die Lage und die Gröſse von AB gefunden ist.

XI. Zu einer gegebenen Geraden von ihrem Endpunkte aus eine andere im rechten Winkel zu ziehen, ohne daſs man sich der Geraden und dem Endpunkte nähert.

Die gegebene Gerade sei die Verbindungslinie der Punkte A und B. Der Punkt aber, von dem aus man die im rechten Winkel geführte Gerade finden soll, sei A.

Es sei die Lage von AB in dem in unserer Nähe liegenden Terrain in der Weise gefunden, wie wir es gelernt haben, und zwar sei es die Gerade $\Gamma\Delta$. Ich führe




Fig. 91.

nun die Dioptra auf der Geraden $\Gamma\Delta$ hin, indem ich das Visierlineal stets nach einem Punkte auf $\Gamma\Delta$ blicken lasse, bis dasselbe, wenn es in die zur Anfangsstellung rechtwinklige Lage gedreht wird, nach dem Punkte A sieht. Die Dioptra sei dann gerade bei E angekommen. Dann wird also die Forderung erfüllt sein, daſs AE einen rechten Winkel (mit AB) bildet.

XII. Wenn ein Punkt sichtbar ist, die Senkrechte zu finden, welche von ihm aus auf die durch uns gelegte

15*

*παράλληλον τῷ ὁρίζοντι, μὴ προσεγγίσαντα τῷ ὁρω-
μένῳ σημείῳ. ἔστω τὸ δοθὲν σημεῖον μετέωρον τὸ Α,
τὸ δὲ δι' ἡμῶν ἐπίπεδον διὰ τοῦ Β. κείσθω οὖν ἡ
διόπτρα πρὸς τῷ Β· καὶ στυλίσκος μὲν νοείσθω ὁ
ΒΓ, ὁ δὲ κινούμενος κανὼν δι' οὗ διοπτεύομεν ὁ* 5
*ΔΓΕ. καὶ κινείσθω, ἄχρις ἂν φανῇ δι' αὐτοῦ τὸ Α·
καὶ μένοντος αὐτοῦ ἀκινήτου, μεταξὺ τῆς διόπτρας
καὶ τοῦ Α σημείου ἕτεροι δύο κανόνες ἐγκείσθωσαν
οἱ ΖΗ, ΘΚ ὀρθοί, ἀνισοϋψεῖς, ὧν ὁ μὲν μείζων ἔστω
ἐπὶ τὰ πρὸς τὸ Α μέρη. τὸ δὲ ἔδαφος νοείσθω κατὰ* 10
*τῆς ΒΖΘΛ γραμμῆς ὡς ἔτυχεν ὑπάρχον· τὸ δὲ δι'
ἡμῶν ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι
νοείσθω τὸ κατὰ τῆς ΒΛ εὐθείας. παραγέσθωσαν οὖν*
fol. 68ʳ *οἱ ΖΗ, ΘΚ κανόνες, ἄχρις ἂν ἐ|π' εὐθείας φανῶσι*
p. 222 *τῷ Α σημείῳ, μένοντος ἀκινήτου τοῦ ΔΓΕ κανόνος.* 15
*τεθεωρήσθω οὖν ἐπὶ μὲν τοῦ ΖΗ κανόνος τὸ Η ση-
μεῖον, ἐπὶ δὲ τοῦ ΘΚ τὸ Κ. καὶ νενοήσθωσαν ἐκβε-
βλημέναι αἱ ΖΗ, ΘΚ ἐπὶ τὰ Μ, Ν· καὶ τῷ ΒΛ
παράλληλοι ἠγμέναι αἱ ΗΞ, ΚΟ. δυνατὸν δέ ἐστιν
ἐπισκέψασθαι τίνι ἐστὶ μετεωρ⟨ότερ⟩ον τὸ Ζ τοῦ Β* 20
*χωροβατήσαν⟨τα⟩· ἑκάτερον γὰρ τῶν Β, Ζ σημείων
πρὸς ἡμᾶς· ὥστε δυνατὸν εὑρεῖν τὴν ΖΜ· ὁμοίως καὶ
τὴν ΝΘ. ἔχω δὲ καὶ ἑκατέραν τῶν ΗΖ, ΚΘ, ὥστε
φανερόν ἐστιν τῶν ΗΜ, ΚΝ, ἡλίκη ἐστὶν ⟨ἑκατέρα⟩,
ὥστε καὶ ἡ ὑπεροχὴ αὐτῶν ἡ ΚΞ ἡλίκη ἐστίν. ἐπιστά-* 25
μεθα δὲ καὶ ἡλίκη ἐστὶν ἡ ΗΞ· τὸ γὰρ μεταξὺ τῶν

---

8 f. *ἐκκείσθωσαν* R. Schoene 10 *πρὸς τῷ*: correxi 11 *ΒΖΟΛ*: corr. Vi *ὑπάρχων*: corr. Vi 15 *σημεῖον*: corr. Vi 16 *τεθεωρείσθω*: corr. Vi 17 *νενοησθωσαί* (sic): correxi 18—19 *καὶ τὸ ΒΛ παράλληλον*: correxi 19 *αἱ ΝΞ ΚΘ*: corr. Vi 20 *μετεωρον*: corr. Vi 21 *χωροβατησαν*: corr. Vi 22 *τῇ ΖΜ*: corr. Vi 23 *τῇ ΝΘ*: corr. Vi 24 supplevi 26 *ἡ ΝΞ*: corr. Vi

horizontale Ebene gefällt wird, ohne sich dem sichtbaren Punkte genähert zu haben.

Der gegebene hohe Punkt sei A, die durch uns gelegte Ebene die Ebene durch B. Nun sei die Dioptra 5 bei B aufgestellt und zwar werde $B\Gamma$ als der Ständer, $\Delta\Gamma E$ dagegen als das bewegliche Lineal gedacht, durch welches wir hindurchvisieren, und dieses werde so lange in seiner Lage verändert, bis A durch dasselbe sichtbar wird. Während nun das Lineal unbeweglich in 10 seiner Stellung verbleibt, sollen zwischen der Dioptra und dem Punkte A zwei andere senkrechte Richtlatten, von




Fig. 92.

ungleicher Höhe ZH und ΘK, aufgestellt werden, von denen die gröfsere nach der Seite von A zu steht. Den Boden aber denke man sich an der Linie $BZ\Theta\Lambda$ entlang 15 beliebig gestaltet; die durch uns gelegte horizontale Ebene dagegen denke man sich an der Geraden $B\Lambda$ entlang. Nun sollen die beiden Richtlatten ZH und ΘK so lange hin und hergetragen werden, bis sie mit dem Punkte A auf einer und derselben Geraden erscheinen, während das 20 Visierlineal $\Delta\Gamma E$ unbewegt in seiner Stellung verbleibt.

Es sei nun auf der Richtlatte ZH der Punkt H, auf der Richtlatte ΘK der Punkt K einvisiert worden, und man denke sich die Geraden ZH und ΘK bis M und N

Ζ, Θ διάστημά ἐστιν τὸ πρὸς διαβήτην· ὥστε ἕξω τίνα λόγον ἔχει ἡ ΗΞ πρὸς τὴν ΞΚ. ἔστω οὖν εἰ τύχοι εὑρημένη ἡ ΗΞ τῆς ΞΚ πενταπλῆ. καὶ ἀπὸ τοῦ Α ἐπὶ τὸ δι' ἡμῶν ἐπίπεδον, τουτέστιν ἐπὶ τὴν ΒΔ, κάθετος ἤχθω ἡ ΑΟΡΠ· ὥστ' ἔσται καὶ ἡ ΚΟ πενταπλῆ τῆς ΟΑ. καὶ ἐπεὶ ἴσμεν ἡλίκη ἐστὶν ἡ ΚΟ — τὸ γὰρ μεταξὺ τῶν Θ, Ρ, διάστημά ἐστιν τὸ πρὸς διαβήτην —, ἕξω ἄρα καὶ τὴν ΑΟ ἡλίκη ἐστίν. ἔχω δὲ καὶ τὴν ΟΠ, ἴση γάρ ἐστι τῇ ΚΝ· ὥστε καὶ ὅλην τὴν ΑΠ, κάθετον οὖσαν ἐπὶ τὸ δι' ἡμῶν ἐπίπεδον, ἕξω ἡλίκη ἐστίν.

p. 224 *ιγ. Δύο σημείων ὁρωμένων εὑρεῖν τὴν ἀπὸ τοῦ ἑνὸς αὐτῶν κάθετον ἀγομένην ἐπὶ τὸ διὰ τοῦ ἑτέρου ἐπίπεδον ἐκβαλλόμενον παράλληλον τῷ ὁρίζοντι μὴ προσεγγίσαντα τοῖς εἰρημένοις δύο σημείοις τοῖς Α, Β.*

Δυνατὸν ἄρα ἐστὶν, ὡς ἐπάνω δέδεικται, ⟨ἐπιγνῶναι⟩ τὴν ἀπὸ τοῦ Α κάθετον ἀγομένην ἐπὶ τὸ δι' ἡμῶν ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι· νοείσθω κατὰ τῆς ΓΑ. ὁμοίως δὴ πεπορίσθω καὶ ἡ ἀπὸ τοῦ Β κάθετος ἐπὶ τὸ δι' ἡμῶν ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι· καὶ ἔστω ἡ ΒΔ. καὶ διὰ τοῦ Α τῇ ΓΔ παράλληλος νοείσθω ἡ ΑΕ, καὶ τεμνέτω τὴν ΒΔ κατὰ τὸ Ε· ἡ ἄρα ζητουμένη κάθετός ἐστιν ἡ ΒΕ. καὶ ἔστιν φανερὸν ὅτι δυνατόν




Fig. 93 a.

ἐστιν εὑρεῖν δύο ὁρωμένων σημείων τὴν ἐπιζευγνύουσαν fol. 68ᵛ *αὐτὰ εὐθεῖαν | ἡλίκη ἐστίν, ἐπειδήπερ δοθεῖσά ἐστιν*

2 ἡ ΝΞ: corr. Vi 3 ἡ ΝΞ 14 ἐκβαλλομένην: corr. Vi
16 ⟨ἐπιγνῶναι⟩ inserui; ⟨γνῶναι⟩ Vi 19 τῆς ΓΔ: corr. Vi

verlängert und zu BA die Parallelen $H\Xi$ und KO gezogen. Nun ist es möglich durch Nivellieren zu untersuchen, um wieviel Z höher liegt als B. Denn jeder der beiden Punkte B und Z liegt nach unserer Seite zu; da-
5 her ist es möglich ZM zu finden, und ebenso $N\Theta$. Ich habe aber auch jede der beiden Geraden HZ und $K\Theta$, so daſs es klar ist, wie groſs jede der beiden Geraden HM und KN ist und deshalb auch, wie groſs ihre Differenz $K\Xi$ ist. Wir wissen nun aber, wie groſs $H\Xi$
10 ist; denn es ist der Abstand zwischen den Punkten Z und Θ in horizontaler Ebene. Ich werde daher das Verhältnis $H\Xi : \Xi K$ haben. Es sei nun beispielsweise $H\Xi = 5\,\Xi K$ gefunden, und es werde von A aus auf die durch uns gehende Ebene, d. h. auf BA, die Senkrechte $AOP\Pi$ ge-
15 fällt. Dann wird auch $KO = 5\,OA$ sein. Und da wir wissen, wie groſs KO ist — es ist nämlich der Abstand zwischen den Punkten Θ und P in horizontaler Ebene — so werde ich auch die Gröſse von AO haben. Ich habe aber auch $O\Pi$, dann $O\Pi = KN$; daher werde ich
20 auch die Länge der ganzen Geraden $A\Pi$ haben, welche die auf die durch uns gehende Ebene gefällte Höhe ist.

XIII. Wenn zwei Punkte sichtbar sind, die Höhe, die von dem einen derselben auf die durch den anderen gelegte horizontale Ebene gefällt wird, zu finden, ohne sich
25 den genannten beiden Punkten, A und B, zu nähern.

Man kann, wie oben gezeigt ist, die Höhe finden, die von A auf die durch uns gelegte horizontale Ebene gefällt wird. Man denke sie sich in der Richtung ΓA. In gleicher Weise werde auch die Höhe von B auf die durch
30 uns gelegte horizontale Ebene gefunden. Es sei $B\Delta$. Nun denke man durch A zu $\Gamma\Delta$ die Parallele AE gezogen, und sie schneide $B\Delta$ in E. Die gesuchte Höhe ist also BE.

Nun ist klar, daſs es möglich ist, wenn zwei Punkte sichtbar sind, die Gröſse der sie verbindenden Geraden zu

---

23 post $B\Delta$ verba: κατὰ τὸ E | ἡ ἄρα ζητουμένη κάθετος del. m. 1 26—27 ἐστιν ἡ AE: corr. Vi

ἥ τε ἀπὸ τοῦ ἑτέρου αὐτῶν κάθετος ἀγομένη ἐπὶ τὸ
διὰ τοῦ ἑτέρου ἐπίπεδον ἐκβαλλόμενον παράλληλον τῷ
ὁρίζοντι, καὶ ἔτι τὸ μεταξὺ αὐτῶν διάστημα τὸ πρὸς
διαβήτην δοθέν ἐστι, τὰ δ' εἰρημένα διαστήματα πρὸς
p. 226 ὀρθάς ἐστιν ἀλλήλοις· ὥστε καὶ ⟨ἡ⟩ ὑποτείνουσα τὴν 5
ὀρθήν, ἥτις ἐπὶ τὰ δοθέντα σημεῖα ἐπιζευγνυμένη,
δοθεῖσά ἐστιν.

Δύο δοθέντων σημείων εὑρεῖν τὴν θέσιν τῆς
ἐπιζευγνυούσης αὐτὰ εὐθείας, μὴ προσεγγίσαντα τοῖς
σημείοις. 10

ἔστω τὰ δοθέντα σημεῖα τὰ A, B· δυνατὸν ἄρα
ἐστὶ [τὴν] τοῦ διὰ τῶν A, B ἐκβαλλομένου ἐπιπέδου
ὀρθοῦ πρὸς τὸν ὁρίζοντα τὴν θέσιν εὑρεῖν, ὡς ἐμά-
θομεν ἐν τοῖς ἔμπροσθεν· τουτέστιν καθέτου ἀχθείσης
⟨ἀφ' ἑκατέρου τῶν σημείων A, B⟩ ἐπὶ τὸ παρὰ τὸν 15
ὁρίζοντα ἐπίπεδον, δοθεισῶν τῶν $A\Gamma$, $B\Delta$, τὴν θέσιν
τῆς $\Gamma\Delta$ εὑρεῖν. ηὑρήσθω καὶ ἔστω ἡ HZ, καὶ διὰ
τοῦ A τῇ $\Gamma\Delta$ παράλληλος ἡ AE ἔστω, ⟨ἣ⟩ καὶ τῇ
HZ παράλληλός ἐστι, καὶ ⟨δοθεῖσα⟩ ἔσται λοιπὴ ἑκα-
τέρα τῶν AE, BE, ὡς προδέδεικται. εἰλήφθω δὴ 20
ἐπὶ τῆς HZ δύο τυχόντα σημεῖα τὰ H, Z, καὶ ἀπὸ
τοῦ Z ἀνεστάτω τις ὀρθὴ πρὸς τὸν ὁρίζοντα ἡ $Z\Theta$
κανόνος παρατεθέντος ἢ ἑτέρου τινός. παράλληλος
ἄρα ἐστὶ τῇ ΔB· καὶ πεποιήσθω ὡς ἡ AE πρὸς EB,
ἡ HZ πρὸς $Z\Theta$· ἐπιζευχθεῖσα ἡ $H\Theta$ παράλληλος ἔσται 25
τῇ AB· τοῦτο γὰρ φανερὸν διά τε τὰς παραλλήλους

---

1 υ ετέρου litterae paene evanidae 2 παραλληλω: corr. Vi 5 supplevi 5—6 τὴν ἀρχὴν ὀρθήν, sed ἀρχὴν del. m. 1 12 [τὴν] delevi 15 addidi 16 τῶν $A\Gamma$ $\Gamma\Delta$ 17 ηυρεί-σθω: correxi; κυρείσθω Vi 18 τῇ AH ἔστω 18—19 καὶ τῇ EZ: correxi et supplevi 20 AH HB ὡς 21 τῆς EZ 21—22 τὰ EZ καὶ ἀτοῦ Z (sic) 24 ἄρα ἐπι: correxi τῇ AB

finden, da ja sowohl die Höhe von einem derselben auf die durch den andern gehende horizontale Ebene als auch der Abstand beider Punkte in horizontaler Ebene bestimmt ist und die genannten Abstandslinien rechtwinklig zu ein-
5 ander stehen. Daher ist auch die Hypotenuse (des rechtwinkligen Dreiecks), welche die Verbindungslinie der gegebenen Punkte ist, bestimmt.

Wenn zwei Punkte gegeben sind, die Lage der sie verbindenden Geraden zu bestimmen, ohne sich den Punkten
10 genähert zu haben.

Die gegebenen Punkte seien A und B. Es ist also möglich die Lage der Ebene, die senkrecht zum Horizonte durch A und B gelegt wird, in der Weise, wie wir es im Vorhergehenden
15 lernten, zu finden, d. h. wenn eine Höhe von jedem der beiden Punkte A und B auf die horizontale Ebene
20 gefällt ist, falls $A\Gamma$ und $B\Delta$ gegeben sind, dann die Lage von $\Gamma\Delta$ zu finden. Sie sei gefunden und sei
25 HZ, und durch A gehe als Parallele zu $\Gamma\Delta$ die Gerade AE, welche auch parallel zu HZ ist. Es wird daher jede der beiden Geraden AE und BE bestimmt sein. Man nehme nun auf der Geraden HZ zwei
30 beliebige Punkte H und Z, und von Z aus werde eine Senkrechte gegen den Horizont, $Z\Theta$, aufgerichtet, indem eine Richtlatte oder irgend etwas anderes hingestellt wird. Diese ist also parallel zu ΔB. Nun mache man, wie sich AE zu EB verhält, so $HZ : Z\Theta$. Zieht man die




Fig. 93 b.

24—25 ὡς ἡ AB προς HB, ἡ EZ πρὸς $H\Theta Z\Theta$, sed $H\Theta$ del. m. 1   25 ἡ $E\Theta$ παράλληλος

καὶ τὰς ἀναλογίας· πεπόρισται ἄρα ἡ θέσις τῆς *ΑΒ* ἐν τοῖς πρὸς ἡμᾶς μέρεσιν.

Ἐκ δὴ τῶν προδεδιδαγμένων φανερόν, ὅτι δυνατόν ἐστιν, ὄρους ὑπάρχοντος, εὑρεῖν τὴν ἀπὸ τῆς κορυφῆς αὐτοῦ κάθετον ἀγομένην ἐπὶ τὸ δι' ἡμῶν ἐκβαλλόμενον 5 ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι, μὴ προσεγγίσαντα τῷ ὄρει, καὶ τὴν ἀφ' οἱουδηποτοῦν σημείου κειμένου ἐν τῷ ὄρει καὶ ὁρωμένου [τὴν] ἀγομένην κάθετον εὑρεῖν· ἐπειδήπερ ἐμάθομεν τὴν ἀπὸ παντὸς σημείου ὁρωμένου κάθετον πορίσασθαι, καὶ ὁμοίως δυνατὸν ἦν 10 ⟨τὴν⟩ ἀπὸ παντὸς ⟨σημείου⟩ ὁρωμένου ἐν τῷ ὄρει κάθετον ἀγομένην ἐπὶ τὸ δι' ἑτέρου σημείου ἐν τῷ p. 228 ὄρει κειμένου καὶ ὁρωμένου ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι. ἁπλῶς γὰρ δύο σημείων δοθέντων οἱωνδηποτοῦν τὰ αὐτὰ ἐμάθομεν πορίσασθαι, 15 fol. 69r τουτέστιν τάς τε ἀγομένας ἀπ' αὐτῶν καθέτους | καὶ ⟨τὸ⟩ μεταξὺ αὐτῶν διάστημα τό γε πρὸς διαβήτην, καὶ ὡς ἔχει θέσεως, μὴ προσιόντα τοῖς σημείοις.

ιδ. Ὀρύγματος δοθέντος τὸ βάθος λαβεῖν· τουτέστι ⟨τὸ μέγεθος⟩ τῆς ἀπὸ τοῦ ἐν τῷ βάθει σημείου κα- 20 θέτου ἀγομένης ἐπὶ τὸ δι' ἡμῶν ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι, ἢ καὶ [ἔτι] ἐπὶ τὸ δι' ἑτέρου σημείου ἐκβαλλόμενον ἐπίπεδον παράλληλον τῷ ὁρίζοντι.

ἔστω τὸ δοθὲν ὄρυγμα τὸ *ΑΒΓΔ*· τὸ δ' ἐν τῷ βάθει αὐτοῦ σημεῖον τὸ *Β*. κείσθω δὴ ἡ διόπτρα 25 πρὸς τῷ *Δ*, ἢ πρὸς ἄλλῳ τινὶ σημείῳ· ἔστω δὴ πρὸς τῷ *Ε*, καὶ ἔστω *ΕΖ*· ὁ δὲ ἐν αὐτῇ κανών, δι' οὗ διοπτεύομεν, ὁ *ΗΘ*· ἐγκλινέσθω οὖν, ἕως οὗ φανῇ δι' αὐτοῦ

---

3 ἐκ δεῖ: corr. Vi προδεδιδαγμένων: f. προδεδειγμένων 5 ἐπὶ τῷ: corr. Vi 8 [τὴν] delevi 11 ⟨τὴν⟩ addidi σημείου add. Vi post ὄρει Vi inserebat ⟨εὑρεῖν⟩ f. recte

Verbindungslinie $H\Theta$, so wird sie zu AB parallel sein. Denn dies ist der Parallelen und der Proportionen wegen klar. Es ist damit also die Lage von AB in dem Terrain in unserer Nähe gefunden.

5 Aus dem im Vorstehenden Gelehrten ist klar, dafs es möglich ist, wenn ein Berg vorhanden ist, die Höhe, die von der Spitze desselben auf die durch uns gelegte horizontale Ebene gefällt wird, zu finden, ohne sich dem Berge zu nähern, und überhaupt die Höhe, die von irgend
10 einem Punkte, der auf dem Berge liegt und sichtbar ist, gefällt wird, zu finden, da wir ja lernten, die Höhe, die von jedem beliebigen Punkte aus gefällt wird, zu bestimmen und es in gleicher Weise möglich war, die Höhe, die von jedem beliebigen, auf dem Berge sichtbaren Punkte
15 auf die horizontale Ebene, die durch einen anderen auf dem Berge liegenden und sichtbaren Punkt geht, zu bestimmen.

Denn wir lernten ja einfach, wenn 2 beliebige Punkte gegeben sind, dieselben Stücke zu bestimmen, d. h. die
20 von ihnen aus gefällten Höhen und den Abstand zwischen ihnen in horizontaler Ebene und wie sie sich in Bezug auf ihre Lage verhalten, und zwar ohne an die Punkte heranzugehen.

XIV. Wenn ein Graben gegeben ist, seine Tiefe zu
25 bestimmen, d. h. die Länge der Senkrechten, die von dem Punkt in der Tiefe auf die durch uns gelegte horizontale Ebene oder auch auf die durch einen anderen Punkt gelegte horizontale Ebene gezogen wird.

Der gegebene Graben sei $AB\Gamma\Delta$, der Punkt in der
30 Tiefe desselben B. Die Dioptra sei bei Δ oder bei irgend einem anderen Punkte aufgestellt; es sei beispielsweise bei E und sie sei EZ, ihr Visierlineal aber, durch das wir hindurchsehen, $H\Theta$. Dieses werde so lange geneigt,

---

15 *οἱονδηποτοῦν* 17 ⟨*τὸ*⟩ addidi *τό τε*: correxi 20 supplevi; ⟨*μέγεθος*⟩ Vi 21—22 *ἐπίπεδον ἴσον τῷ*: correxi 22 [*ἔτι*] delevi *ἐπὶ τῶ*: correxi 24 *τῶ δ' ἐν* 25 *σημεῖον τὸ Δ*: corr. Vi 26 *πρὸς τὸ Δ* 26—27 *πρὸς τὸ E*

*τὸ Β σημεῖον. ἡ δὲ ⟨τοῦ⟩ ἐδάφους ἐπιφάνεια νοείσθω
κατὰ τῆς ΔΕΚΛΜ γραμμῆς· τὸ δὲ δι' ἡμῶν ἐπίπεδον
ἐκπῖπτον νοείσθω κατὰ τῆς ΑΔΣΟ εὐθείας. ἐπὶ δὲ
τοῦ ἐδάφους ἐφεστ⟨άτ⟩ωσαν δύο κανόνες, οἱ ΚΝ, ΜΞ
p. 230 ὀρθοί, ἐπ' εὐθείας τῷ ΗΘ κανόνι· καὶ τεθεωρήσθω* 5
*ἐπὶ μὲν τοῦ ΚΝ κανόνος σημεῖον τὸ Ν, ἐπὶ δὲ τοῦ
ΞΜ τὸ Ξ. καὶ δέον ἔστω τὴν ἀπὸ τοῦ Β κάθετον
ἀγομένην ἐπὶ τὸ διὰ τοῦ Δ ἐκβαλλόμενον ἐπίπεδον
παράλληλον τῷ ὁρίζοντι ⟨πορίσασθαι⟩, τουτέστιν τὴν
ἐπὶ ⟨τὴν⟩ ΑΔΟ γραμμὴν ἀγομένην κάθετον· ἡ δὲ* 10
*ἀπὸ τοῦ Β κάθετος ἡ ΒΑ ἐστίν, ἣν δεῖ πορίσασθαι.
νενοήσθω οὖν καὶ τὸ διὰ τοῦ Β ἐπίπεδον παράλ-
ληλον τῷ ὁρίζοντι τὸ κατὰ τὸ ΒΠ γινόμενον καὶ
νενοήσθω ἐκβεβλημένος ὁ ΞΜ κανὼν ἐπὶ τὸ Π, καὶ
ὁ ΝΚ ἐπὶ τὸ Σ, καὶ διὰ τοῦ Ν τῇ ΔΟ παράλληλος* 15
*ἤχθω ἡ ΝΡ. ἡ ἄρα ΝΡ τὸ μεταξὺ τῶν Κ, Μ σημείων
ἐστὶ διάστημα τὸ πρὸς διαβήτην· δυνατὸν ἄρα ἐστὶν
αὐτὸ πορίσασθαι, ἐπεὶ καὶ τὰς ΚΣ, ΜΟ. ἡ δὲ ΞΡ
ὑπεροχή ἐστι τῶν ΞΡΟ, ΝΣ· δυνατὸν ἄρα καὶ ταύτην
πορίσασθαι, ἐπεὶ τὰς ΚΣ, ΜΟ δυνατόν ἐστι πορί-* 20
*σασθαι, ὥσπερ ἐποιήσαμεν ὅτε τὴν ἀπὸ παντὸς σημείου
κάθετον ἀγομένην διὰ τῶν δύο κανόνων ἐπορισάμεθα.
ἔστω οὖν εὑρημένη, εἰ τύχοι, τετραπλῆ ἡ ΝΡ τῆς ΡΞ·
ἔσται ἄρα καὶ ἡ ΒΠ τετραπλῆ τῆς ΞΠ. δυνατὸν δέ
ἐστι πορίσασθαι τὴν ΒΠ, τουτέστι τὴν ΑΟ· τὸ γὰρ* 25
*ἀπὸ τοῦ Ο ἐπὶ τὸ Α διάστημά ἐστιν τὸ πρὸς διαβήτην
τὸ ΑΟ, τουτέστιν τὸ ΒΠ· ὥστε δυνατόν ἐστι πορί-
σασθαι καὶ τὴν ΞΠ· ἔστιν γὰρ τέταρτον μέρος τῆς*

---

1 ⟨τοῦ⟩ addidi 4 *ἐφέστωσαν*: correxi *οἱ ΚΗΜΖ* 5 *τεθεω-ρεισθω* 6 *μὲν τοῦ ΚΗ* 8 *ἐπὶ τοῦ διὰ* 9 et 10 addidi 19 *τῶν* $\overline{PO}$ $\overline{N\Sigma}$ 23 *εἰ τυχη* 27 *τὸ ΑΟ*: f. *τῶν Α, Μ* R. Schoene

bis durch dasselbe der Punkt B sichtbar wird. Die Oberfläche des Bodens denke man sich an der Linie $\Delta EK\Lambda M$ entlang, die durch uns gelegte (horizontale) Ebene denke man sich an der Linie $A\Delta\Sigma O$ entlang. Auf dem Erdboden sollen nun 2 Richtlatten, KN und $M\Xi$ in der Verlängerung der durch das Visierlineal laufenden Geraden $H\Theta$ senkrecht aufgestellt sein. Und es sei auf der Richtlatte KN der Punkt N einvisiert, auf der Richtlatte ΞM der Punkt Ξ. Die Aufgabe sei, die Senkrechte von B auf die durch Δ gelegte horizontale Ebene, d. h. die Senkrechte auf die Linie $A\Delta O$ zu bestimmen. Die von B aus gezogene Senkrechte ist aber BA, welche es zu bestimmen gilt. Man denke sich nun auch die horizontale Ebene durch B, welche durch $B\Pi$ geht, und die Richtlatte ΞM bis Π, die Richtlatte NK bis Σ verlängert, und durch N werde




Fig. 94.

ΒΠ. ἔχομεν δὲ καὶ τὴν ΞΟ ἡλίκη ἐστίν· ὥστε καὶ τὴν ΟΠ ἕξομεν, τουτέστιν τὴν ΑΒ κάθετον.

fol. 69ᵛ p. 232 | *ιε. Ὄρος διορύξαι ἐπ' εὐθείας τῶν στομάτων τοῦ ὀρύγματος ἐν τῷ ὄρει δοθέντων. νενοήσθω τοῦ ὄρους ἕδρα ἡ ΑΒΓΔ γραμμή, τὰ δὲ στόματα, δι' ὧν δεῖ* 5 *ὀρύξαι, τὰ Β, Δ. ἤγαγον εὐθεῖαν ἀπὸ τοῦ Β ἐν τῷ ἐδάφει τὴν ΒΕ, ὡς ἔτυχεν· καὶ ἀπὸ τυχόντος τοῦ Ε*




Fig. 95.

τῇ ΒΕ πρὸς ὀρθὰς ἤγαγον τὴν ΕΖ διὰ τῆς διόπτρας· καὶ ἔτι ἀπὸ τοῦ Ζ τυχόντος διὰ τῆς διόπτρας πρὸς ὀρθὰς ἤγαγον τὴν ΖΗ. καὶ πάλιν ἀπὸ τυχόντος 10 *τοῦ Η, τῇ ΖΗ πρὸς ὀρθὰς τὴν ΗΘ· καὶ ἔτι ἀπὸ τυχόντος τοῦ Θ, τῇ ΘΗ πρὸς ὀρθὰς τὴν ΘΚ, καὶ τῇ ΘΚ πρὸς ὀρθὰς τὴν ΚΛ. καὶ παραφέρω τὴν διόπτραν ἐπὶ τῆς ΚΛ* <*εὐθείας διατηρῶν τὸν κανόνα ἀεὶ ἀποβλέποντα σημείῳ τινὶ τῶν ἐπὶ τῆς ΚΛ,*> *ἄχρις* 15

zu ΔO die Parallele NP gezogen. Es ist also NP der Abstand der Punkte K und M in horizontaler Ebene. Es ist also möglich ihn zu bestimmen, da man auch $K\Sigma$ und MO bestimmen kann. ΞP ist aber die Differenz von 5 ΞPO und $N\Sigma$; es ist also möglich auch diese zu bestimmen, da es möglich ist $K\Sigma$ und MO zu bestimmen, wie wir thaten, als wir die von jedem beliebigen Punkte gefällte Senkrechte vermittelst der zwei Richtlatten bestimmten. Es sei nun beispielsweise $NP = 4\,P\Xi$ gefunden; 10 also wird auch $B\Pi = 4\,\Xi\Pi$ sein. Nun ist es möglich $B\Pi$, d. h. AO zu bestimmen; denn AO, d. h. $B\Pi$ ist der Abstand von M und A in horizontaler Ebene. Daher ist es möglich auch $\Xi\Pi$ zu bestimmen; denn es ist $= \frac{1}{4}\,B\Pi$. Wir haben aber auch die Gröfse von ΞO. Daher werden 15 wir auch $O\Pi$, d. h. die Senkrechte AB haben.

XV. Einen Berg in gerader Linie zu durchstechen, wenn die Mündungspunkte des Grabens an dem Berge gegeben sind.

Man denke sich als Basis des Berges die Linie $AB\Gamma\Delta$, 20 und als die Punkte, durch welche man den Graben führen mufs, B und Δ. Ich ziehe von B aus auf dem Erdboden die beliebige Gerade BE und von dem beliebigen Punkte E ziehe ich vermittelst der Dioptra zu BE im rechten Winkel EZ, und weiter ziehe ich von dem beliebigen 25 Punkte Z vermittelst der Dioptra im rechten Winkel (zu EZ) die Linie ZH, und wiederum von dem beliebigen Punkte H zu ZH im rechten Winkel $H\Theta$, und weiter von dem beliebigen Punkte Θ zu ΘH im rechten Winkel ΘK, und zu ΘK im rechten Winkel $K\Lambda$. Nun führe 30 ich die Dioptra auf der Linie $K\Lambda$, indem ich das Visierlineal immer auf einen der Punkte der Geraden $K\Lambda$ gerichtet halte, so lange hin, bis durch Einstellung des Lineals im rechten Winkel der Punkt Δ sichtbar wird. Er sei sichtbar geworden, sobald die Dioptra bei M steht. Es

5 τὸ δὲ στόμα 11 πρὸς ορθὰς (λαῖ) την (sic) 14 supplevi coll. p. 226, 14

ἂν διὰ τῆς πρὸς ὀρθὰς θέσεως τοῦ κανόνος φανῇ τὸ Δ σημεῖον. πεφηνέτω ⟨οὔσης τῆς διόπτρας κατὰ τὸ Μ⟩· ἔσται δὴ ἡ ΜΔ καὶ ἐπὶ τὴν ΚΛ κάθετος. καὶ νενοήσθω ἐκβεβλημένη ἡ ΕΒ ἐπὶ τὸ Ν, καὶ ἐπ' αὐτὴν κάθετος ἡ ΔΝ. δυνατὸν δή ἐστιν ἐκ τῶν ΕΖ, ΗΘ, 5 ΚΛ ἐπιλογίσασθαι ἡλίκη ἐστὶν ἡ ΔΝ, ὥσπερ ἐποιοῦμεν, p. 234 ὅτε τὴν ἀπὸ παντὸς σημείου ἐπὶ ἕτερον ἀθεώρητον ἐπεξευγνύομεν εὐθεῖαν· ὁμοίως δὲ καὶ τὴν ΒΝ ἐκ τῶν ΒΕ, ΖΗ, ΘΚ, ΛΔ. εὑρήσθω οὖν, εἰ τύχοι, πενταπλῆ ἡ ΒΝ τῆς ΔΝ· καὶ ἐπιζευχθεῖσα ἡ ΒΔ νενοήσθω ἐκ- 10 βεβλημένη ἐπὶ τὸ Ξ, καὶ ἐπὶ τὴν ΒΕ κάθετος ἤχθω ἡ ΞΟ· ὁμοίως δὲ καὶ ἡ ΒΔ νενοήσθω ἐκβεβλημένη ἐπὶ τὸ Π, καὶ κάθετος ἐπὶ τὴν ΔΜ ἡ ΠΡ· ἔσται δὴ ὁμοίως πενταπλῆ ἡ μὲν ΒΟ τῆς ΟΞ, ἡ δὲ ΔΡ τῆς ΡΠ. λαβόντες οὖν ἐπὶ τῆς ΒΕ σημεῖον τυχὸν τὸ Ο, 15 καὶ πρὸς ὀρθὰς ἀγαγόντες τὴν ΟΞ τῇ ΒΟ, πέμπτον μέρος θήσομεν τὴν ΟΞ τῆς ΒΟ. καὶ ἔσται ἡ ΒΞ νεύουσα ἐπὶ τὸ Β· ὁμοίως δὴ πάλιν τῆς ΔΡ πέμπτον μέρος θέντες τὴν ΠΡ, ἕξομεν τὴν ΔΠ νεύουσαν ἐπὶ τὸ Δ. διορύξομεν οὖν ἀπὸ μὲν τοῦ Β ποιοῦντες τὸ 20 ὄρυγμα ἐπ' εὐθείας τῆς ΒΞ, ἀπὸ δὲ τοῦ Δ ἐπ' εὐθείας τῆς ΔΠ. γίνεται δὲ λοιπὸν τὸ ὄρυγμα κανόνος παρατιθεμένου ἐπὶ τῆς εὑρημένης εὐθείας τῆς ΞΒ, ἤτοι ἐπὶ τῆς ΠΔ, ἢ καὶ ἐπ' ἀμφότερα τὰ μέρη. γινομένου τοῦ ὀρύγματος οὕτως ὑπαντήσουσιν ἀλλήλοις 25 οἱ ἐργαζόμενοι.

fol. 70r p. 236 ιζ. Φρεατίας ὑπονόμῳ εἰς ὄρος διορύξαι | κατὰ κάθετον οὔσας τῷ ὑπονόμῳ. ἔστω τὰ ὑπονόμου πέρατα τὰ Α, Β· καὶ εἰλήφθωσαν, ἐπ' εὐθείας τῇ ΑΒ, αἱ ΓΑ, ΒΔ, ὡς ἐμάθομεν. ἔστησα οὖν δύο κανόνας 30 ὀρθοὺς πρὸς τοῖς Α, Γ τοὺς ΓΕ, ΑΖ καὶ τὴν διόπτραν

wird daher $M\Delta$ eine Senkrechte auf $K\Lambda$ sein. Nun denke
man sich EB bis N und auf sie die Senkrechte ΔN gefällt.
Es ist daher möglich aus EZ, $H\Theta$ und $K\Lambda$ die Gröſse
von ΔN zu bestimmen, wie wir thaten, als wir von jedem
5 beliebigen Punkt auf einen anderen, nicht sichtbaren Punkt
die Verbindungslinie zogen. Gleichermaſsen kann man auch
BN aus BE, ZH, ΘK und $\Lambda\Delta$ berechnen. Es sei nun
beispielsweise $BN = 5\,\Delta N$ gefunden und man denke sich
die Verbindungslinie $B\Delta$ bis Ξ verlängert und es werde
10 auf BE die Senkrechte ΞO gefällt. Gleichermaſsen denke
man sich $B\Delta$ bis Π verlängert und die Senkrechte auf
$\Delta\Lambda$, nämlich ΠP, gefällt. Es wird daher ebenso $BO = 5\,O\Xi$
und $\Delta P = 5\,P\Pi$ sein. Wir nehmen nun auf BE den
beliebigen Punkt O an und ziehen $O\Xi$ im rechten Winkel
15 zu BO, sodann machen wir $O\Xi = \frac{1}{5} BO$, dann wird $B\Xi$
nach B zu geneigt sein. Wenn wir nun in gleicher Weise
$\Pi P = \frac{1}{5}\Delta P$ machen, werden wir in gleicher Weise $\Delta\Pi$
nach Δ geneigt haben. Wir werden nun den Durchstich
so machen, daſs wir von B aus den Graben auf der (Ver-
20 längerung der) Geraden $B\Xi$, von Δ aus auf der (Ver-
längerung der) Geraden $\Delta\Pi$ führen. Weiter wird der
Graben hergestellt, indem eine Richtlatte auf die ge-
fundenen Geraden ΞB oder auf $\Pi\Delta$ oder auch nach
beiden Seiten hin aufgestellt wird. Wird der Graben auf
25 diese Weise hergestellt, so werden sich die Arbeiter treffen.

XVI. Schachte für einen unterirdischen Kanal in einen
Berg zu graben, die zum Kanal senkrecht laufen sollen.

Die Endpunkte eines Kanals seien A und B und man
bestimme ΓA und $B\Delta$ auf einer und derselben Geraden
30 mit AB so wie wir es lernten. Ich stelle nun 2 senk-
rechte Richtlatten, nämlich ΓE und AZ, bei den Punkten
A und Γ und die Dioptra bei dem Berge auf, nach-

---

3 ἐπὶ τὴν $K\Lambda$: τῆς Vi 4 ἐπὶ τὸ KH 6 KM ἢ ΔH
8 ἐπιζευγνύομεν 9 ΛM: corr. Vi 12 δὴ 13 τὴν ΔM
16 τῇ $O\Xi$ τὴν BO 17 θήσωμεν 19—20 ἐπὶ τὸ B
28 οὖσα 30—31 κανόνας ἐν τοῖς ὀρθοῖς, sed ἐν τοῖς del.
m. 1 et ὀρθοῖς in ὀρθοὺς mutavit

πρὸς τῷ ὄρει ἀποστήσας σύμμετρον διάστημα, ὥστε διὰ τοῦ ἐν τῇ διόπτρᾳ κανόνος ἅμα φανῆναι τοὺς ΓΕ, ΑΖ κανόνας. ἔστω οὖν ἡ μὲν διόπτρα ἡ ΗΘ, ὁ δὲ ἐν αὐτῇ κανὼν ὁ ΚΛ· καὶ μένοντος τοῦ ΚΛ κανόνος ἀκινήτου μετατίθημι ἕνα τῶν ΓΕ, ΑΖ κανό- 5 νων, ὡς ἐπὶ τὸ Μ σημεῖον, ἔμπροσθεν τῆς διόπτρας, ὡς τὸν ΜΝ, περιφέρων αὐτὸν ὀρθόν, ἄχρις ἂν διὰ τοῦ ΚΛ κανόνος φανῇ ὁ ΜΝ κανών. καὶ ἔσται τὸ Μ σημεῖον κατὰ κάθετον κείμενον τῷ ὑπονόμῳ. πάλιν δὴ μετατεθείσης τῆς διόπτρας ἔμπροσθεν τοῦ ΜΝ 10 κανόνος ἐπὶ τὸ Ξ περιφέρω, ἄχρις ἂν διὰ τοῦ ἐν τῇ διόπτρᾳ κανόνος ἅμα φανῶσιν οἱ ΑΖ, ΜΝ κανόνες· καὶ πάλιν μένοντος τοῦ ἐν τῇ διόπτρᾳ κανόνος ἀκινήτου μεταφέρω τὸν ΑΖ κανόνα ἔμπροσθεν τῆς διόπτρας ὀρθὸν ὡς ἐπὶ τὸ Ο σημεῖον περιφέρων αὐτὸν, 15 ἕως οὗ διὰ τοῦ ἐν τῇ διόπτρᾳ κανόνος φανῇ ὁ ΟΠ p. 238 κανών· καὶ ἔσται ὁμοίως τὸ Ο κατὰ κάθετον τῷ ὑπονόμῳ. ὡσαύτως δὲ καὶ ἕτερα πλείονα λαμβάνων σημεῖα γράψω ἐν τῷ ὄρει γραμμήν, ἥτις πᾶσα κατὰ κάθετον ἔσται τῷ ὑπονόμῳ. κἂν βουλώμεθα δὲ καὶ ἐκ τῶν Β, 20 Δ μερῶν τὰ αὐτὰ ποιεῖν, οὐδὲν διοίσει. ἐπὶ τῆς ληφθείσης οὖν ἐν τῷ ὄρει γραμμῆς διαστήματα λαμβάνοντες, ἡλίκα ἂν βουλώμεθα, καὶ κατὰ κάθετον ὀρύσσοντες τὰς φρεατίας ἐπιτευξόμεθα τοῦ ὑπονόμου. χρὴ δὲ νοεῖν καὶ ταύτην τὴν δεῖξιν, ὡς τοῦ ὑπονόμου ἐπὶ 25 μιᾶς εὐθείας ὄντος.

| ιζ. Λιμένα περιγράψαι πρὸς τὸ δοθὲν κύκλου τμῆμα, τῶν περάτων αὐτοῦ δοθέντων.

---

5 τῶν ΓΑ ΑΖ 6 τὸ Ζ σημεῖον 12 οἱ ΑΖ ΜΗ 16—17 ὁ ΘΠ κανὼν 18 λαμβάνω 21—22 λειφθησης 23 ἡνίκα: correxi 28 τμῆμα ex σχῆμα fec. m. 1

dem ich sie ein entsprechendes Stück abgerückt habe, so daſs durch das an der Dioptra befindliche Visierlineal die Richtlatten ΓE und AZ gleichzeitig sichtbar sind. Es sei nun $H\Theta$ die Dioptra und $K\Lambda$ das an ihr befindliche Visierlineal. Während nun das Visierlineal $K\Lambda$ unbeweglich in seiner Stellung verbleibt, stelle ich eine der beiden Richtlatten ΓE und AZ beispielsweise nach dem Punkt M vorwärts der Dioptra um, etwa als MN, indem ich ihn in senkrechter Stellung hin- und hertrage, bis durch das Visierlineal $K\Lambda$ die Richtlatte NM sichtbar wird. Dann wird der Punkt M senkrecht über dem Kanal liegen. Nachdem die Dioptra nun wieder vorwärts der Richtlatte MN nach Ξ umgesetzt ist, trage ich sie so lange hin und her, bis durch das an der Dioptra befindliche Visierlineal die beiden Richtlatten AZ und MN zugleich sichtbar werden. Und während das an der Dioptra befindliche Visierlineal wiederum unbeweglich in seiner Stellung verbleibt, trage ich die Richtlatte AZ in vertikaler Stellung etwa nach Punkt O vorwärts der Dioptra hin, indem ich

Fig. 96.

ἔστω τὰ πέρατα αὐτοῦ τὰ Α, Β καὶ καθεστάσθω ⟨τὸ⟩ ἐν τῇ διόπτρᾳ τύμπανον, περὶ ὃ ὁ κανὼν κινεῖται, παράλληλον τῷ ὁρίζοντι· καὶ ἀπ' αὐτοῦ ἀπειλήφθω ἡ ΓΔΕ ὁμοία τῷ τοῦ κύκλου τμήματι, πρὸς ὃν τὸν λιμένα βουλόμεθα περιγράψαι. καὶ ἔστω κανὼν ἐπὶ 5 τὰ ἕτερα μέρη ἔγγιστα τῆς διόπτρας ὁ ΖΗ οὕτως ὥστε τὰς ἀπὸ τοῦ Ζ ἐπὶ τὰ Γ, Ε σημεῖα ἐπιζευγνυ- p. 244 fol. 70ᵛ μένας καὶ ἐκβαλλομένας ἀκτῖνας ἀπὸ τῆς ὄψεως | πίπτειν




Fig. 97.

ἐπὶ τὰ Α, Β σημεῖα. τοῦτο δὲ ἔσται μετακινουμένης τῆς διόπτρας καὶ τοῦ ΖΗ κανόνος, ἢ καὶ ἑνὸς αὐτῶν. 10 καὶ οὕτως κατασταθέντων προσβεβλήσθω ἀπὸ τοῦ Ζ ἀκτὶς πρὸς τὴν ΓΔ εὐθεῖαν, ἕως οὗ συμπέσῃ τῷ ἐδάφει κατὰ τὸ Θ· ἔσται δὴ τὸ Θ ἐπὶ τῆς περιγραφομένης ἐν τῷ λιμένι γραμμῆς. ὁμοίως δὲ καὶ ἕτερα λαμβάνοντες τῷ Θ περιγράψομεν τὴν ΒΘΑ γραμμήν. 15 δεήσει δὲ καὶ τὸ ἔδαφος ὡς εἰς ἔγγιστα καταστῆσαι παράλληλον τῷ ὁρίζοντι, ἵνα καὶ τῶν ἐπ' αὐτοῦ λαμ-

---

1 καθεστάσθω ἐν: supplevi 4 ὃν: exspectatur ὃ 5 ἔστω: f. ἑστάτω 6 ὁ ΖΕ 10 τοῦ ΖΕ κανόνος

sie so lange hin und her trage, bis durch das an der Dioptra befindliche Lineal die Richtlatte $O\Pi$ sichtbar wird. Nnn wird ebenfalls der Punkt O senkrecht über dem Kanal liegen.

5 Indem ich nun in derselben Weise noch mehrere andere Punkte bestimme, werde ich auf dem Berge eine Linie zeichnen, welche in ihrem ganzen Verlauf senkrecht über dem Kanal gehen wird. Und wenn wir dasselbe von der Seite von B und Δ aus thun wollen, so wird es keinen 10 Unterschied machen. Nehmen wir nun auf der auf dem Berge bestimmten Linie Zwischenräume von beliebiger Länge und graben die Schachte senkrecht, so werden wir auf den Kanal treffen. Man muſs übrigens diesen Beweis unter der Voraussetzung auffassen, daſs der unterirdische 15 Kanal auf einer geraden Linie verläuft.

XVII. Den Umriſs eines Hafens nach Maſsgabe eines gegebenen Kreissegments zu zeichnen, wenn die Endpunkte desselben gegeben sind.

Die Endpunkte desselben seien A und B. Es sei nun 20 an der Dioptra die (groſse) Kreisscheibe, um welche sich das Visierlineal bewegt, horizontal gestellt und von dieser die Linie $\Gamma\Delta E$ abgeteilt, die dem Segment, nach welchem wir den Hafenumriſs zeichnen wollen, ähnlich sein soll. Und es stehe eine Richtlatte nach der anderen 25 Seite zu ganz nahe der Dioptra, nämlich ZH, dergestalt, daſs Verbindungslinien, die von Z nach den Punkten Γ und E gezogen werden und Sehstrahlen, die von dem (dort befindlichen) Auge ausgehen, auf die Punkte A und B treffen. Dies wird erreicht werden dadurch, daſs man 30 die Dioptra und die Richtlatte ZH, oder auch nur eines der beiden Stücke, herumbewegt. Nachdem sie so aufgestellt sind, werde von Z ein Sehstrahl nach $\Gamma\Delta$ in gerader Richtung entsandt, bis er mit dem Erdboden in Θ zusammentrifft. Der Punkt Θ wird also auf der Um- 35 riſslinie des Hafens liegen. Indem wir nun in derselben Weise wie Θ auch andere Punkte bestimmen, werden wir die Umriſslinie $B\Theta A$ zeichnen. Es wird übrigens nötig

βανομένων σημείων ἡ περιγραφομένη γραμμὴ [ἡ] ἐν ἐπιπέδῳ ᾗ παραλλήλῳ τῷ ὁρίζοντι. ὅτι δὲ ἡ ΒΘΑ γραμμὴ κύκλου περιφέρειά ἐστι καὶ ὁμοία τῇ ΓΔΕ, φανερόν· κῶνος γὰρ γίνεται, οὗ βάσις μὲν ὁ ΓΔΕ κύκλος, κορυφὴ δὲ τὸ Ζ σημεῖον, πλευραὶ δὲ αὐτοῦ 5 *αἱ ἀπὸ τοῦ Ζ σημείου προσπίπτουσαι πρὸς τὴν ΓΔΕ περιφέρειαν. καὶ τέμνεται ἐπιπέδῳ παραλλήλῳ τῇ βάσει, τῷ ἐν ᾧ ἐστι τὰ Α, Β σημεῖα, καὶ πλευραὶ αὐτοῦ εἰσὶν αἱ ΖΓΒ, ΖΕΑ· ἡ ἄρα ΒΘΑ γραμμὴ κύκλου γίνεται περιφέρεια καὶ ὁμοία τῇ ΓΔΕ. ὁμοίως* 10 *δέ ἐὰν βουλώμεθα τὴν περιγραφομένην μὴ εἶναι κύκλου περιφέρειαν, ἀλλὰ ἐλλείψεως, ἢ καὶ ὅλην ἔλλειψιν ἢ καὶ παραβολὴν ἢ ὑπερβολὴν ἢ ἄλλην τινὰ γραμμήν, ποιήσομεν ὁμοίαν αὐτῇ ἐκ σανίδος· καὶ ἐφαρμόσαντες ἐπὶ τὸ ΓΔ τύμπανον, ὥστε συμφυὲς αὐτῷ γενέσθαι,* 15 *ὑπερέχειν ⟨δὲ⟩ εἰς τὸ ἐκτὸς τοῦ τυμπάνου τὴν ἐκ τῆς σανίδος περιτμηθεῖσαν γραμμήν, τὰ αὐτὰ ποιήσομεν τοῖς ἐπὶ τῆς ΓΔΕ περιφερείας εἰρημένοις. οὕτως οὖν πάσῃ τῇ δοθείσῃ γραμμῇ ὁμοίαν περιγράψομεν. ἐὰν δὲ βουλώμεθα τὴν περιγραφομένην γραμμὴν μὴ ἐν* 20 *τῷ ἐδάφει γράφεσθαι παραλλήλῳ τῷ ὁρίζοντι, ἀλλ' ἐν* p. 246 *ἑτέρῳ ἐπιπέδῳ, καταστήσομεν τὸ τύμπανον παράλληλον τῷ ἐπιπέδῳ, ἐν ᾧ μέλλει γράφεσθαι ἡ γραμμή, καὶ τὰ αὐτὰ ποιήσομεν· πάλιν γὰρ γίνεται κῶνος ἐπιπέδῳ τεμνόμενος τῷ ἐν ᾧ ἐστὶν ἡ γραμμὴ παράλληλος τῇ* 25 *βάσει. ὁμοίως καὶ γέφυραν περιγράψομεν. τὸ δὲ τύμπανον τὸ ΓΔΖ καταστήσομεν καὶ παράλληλον τῷ*

---

1 [ἡ] delevi 2 *παράλληλος*: correxi 8 *τῇ ἐν ὧ* 9—10 *γραμμὴ ὃ γίνεται* 14 *ποιήσω μεν ἐφαρμώσαντες* 17 *ποιήσωμεν* 20 *βουλομεθα* 22 *καταστησωμεν* 24 *ποιησωμεν* 25 f. *παραλλήλῳ* 26 *περι γραφομεν*

sein, den Erdboden so weit als möglich horizontal zu machen, damit auch die Umrifslinie, die durch die auf ihm bestimmten Punkte bestimmt wird, in einer horizontalen Ebene liegt.

5 Dafs die Linie $B\Theta A$ ein Stück einer Kreisperipherie und $\Gamma\Delta E$ ähnlich ist, ist offenbar. Denn es entsteht ein Kegel, dessen Basis der Kreis $\Gamma\Delta E$ und dessen Spitze der Punkt Z ist; seine Seiten sind die Geraden, die von dem Punkte Z aus nach dem Peripherieabschnitt $\Gamma\Delta E$ 10 laufenden Linien. Und er wird von einer seiner Basis parallelen Ebene, derjenigen nämlich, in der die Punkte A und B liegen, geschnitten und seine Seiten sind $Z\Gamma B$ und ZEA. Die Linie $B\Theta A$ wird also ein Stück einer Kreisperipherie und $\Gamma\Delta E$ ähnlich.

15 Ebenso aber werden wir, wenn wir wünschen, dafs die Umrifslinie nicht eine Kreisperipherie, sondern die Peripherie eine Ellipse, oder auch eine ganze Ellipse, oder auch eine Parabel oder Hyperbel oder irgend eine andere Linie sei, eine ihr ähnliche aus einem Brett herstellen, 20 und nachdem wir es so auf die Kreisscheibe $\Gamma\Delta$ aufgelegt haben, dafs es mit ihr fest verbunden wird und die aus dem Brett geschnittene Linie über die Kreisscheibe hervorragt, werden wir genau dasselbe thun, was bei der Peripherie $\Gamma\Delta E$ beschrieben worden. Auf diese Weise nun 25 werden wir einer jeden (beliebigen) gegebenen Linie ähnliche Umrifslinien bestimmen können.

Wünschen wir jedoch, dafs die Umrifslinie nicht auf der horizontalen Erdbodenoberfläche gezeichnet wird, sondern auf einer anderen Ebene, so werden wir die Kreisscheibe 30 parallel zu der Ebene stellen, in welcher die Linie gezeichnet werden soll, und dieselben Operationen vornehmen. Denn es entsteht wieder ein Kegel, der durch eine Ebene — diejenige in welcher die zur Basis parallele Linie liegt — geschnitten wird. In ähnlicher Weise werden wir auch 35 die Umrifslinie einer Brücke zeichnen.

Die Kreisscheibe $\Gamma\Delta E$ werden wir auf folgende Weise zu der gegebenen Ebene parallel stellen. Die gegebene

δοθέντι ἐπιπέδῳ οὕτως. ἔστω γὰρ τὸ δοθὲν ἐπίπεδον τὸ *ΚΛΜΝ* καὶ ἐν αὐτῷ δύο εὐθεῖαι ἔστωσαν αἱ *ΚΛ*, *ΜΝ* καὶ εὑρήσθω ἡ θέσις τῆς *ΚΛ* ἐν τοῖς πρὸς ἡμᾶς μέρεσιν, καὶ ἔστω ἡ *ΞΟ*. ὁμοίως δὲ καὶ ἡ θέσις τῆς




Fig. 98.

ΛΜ εὑρήσθω, καὶ ἔστω ἡ *ΟΠ*. τὸ ἄρα *ΚΛΜΝ* ἐπί- 5
fol. 71ʳ πεδον παράλληλόν ἐστιν τῷ διὰ τῶν *ΞΟ*, *ΟΠ*. | ἐγκλίνας οὖν τὸ τύμπανον, ὥστε ἐν τῷ ἐπιπέδῳ αὐτοῦ γενέσθαι τὰς *ΞΟ*, *ΟΠ*, ἔξω καθεσταμένον παράλληλον τῷ *ΚΛΜΝ* ἐπιπέδῳ.

p. 248 ιη. Ἔδαφος κυρτῶσαι, ὥστε σφαιρικὴν ἔχειν ἐπι- 10
φάνειαν πρὸς τὸ δοθὲν τμῆμα. ἔστω ὁ δοθεὶς τόπος ὁ *ΑΒΓΔ*, μέσον δὲ αὐτοῦ σημεῖον τὸ *Ε*. διὰ δὲ τοῦ *Ε* σημείου διήχθωσαν εὐθεῖαι διὰ τῆς διόπτρας οὖσαι ἐν τῷ ἐδάφει, ὁσαιδηποτοῦν, αἱ *ΑΓ*, *ΒΔ*, *ΖΗ*, *ΚΘ*, ἐφ' ὧν πάσσαλοι ἐγκεκρούσθωσαν ὀρθοί. ὡς δ' ἂν 15
ἐπὶ μιᾶς ὑποδείξομεν, οὕτως καὶ ἐπὶ τῶν λοιπῶν νοείσθω εὐθειῶν. πεπασσαλοκοπήσθω οὖν ἡ *ΒΔ* τοῖς *ΛΜ*,

---

5 *ΚΜΛΝ* 6 ἐστιν τῶ διατῶι διατων (sic) 9 τὸ *ΚΛΜΝ* 14 $\overline{ZH}$, $\overline{H\Theta}$ 15 δ' ἂν corruptum videtur 16 ἐπι μιᾶς επι|μιᾶς

Ebene sei $K\Lambda MN$ und in ihr seien zwei Gerade $K\Lambda$ und MN. Nun sei die Lage von $K\Lambda$ in der Gegend unseres Standortes bestimmt, und zwar sei sie ΞO. In ähnlicher Weise soll nun auch die Lage von ΛM gefunden sein, und zwar sei sie $O\Pi$. Die Ebene $K\Lambda MN$ ist also der durch die Linien ΞO und $O\Pi$ bestimmten parallel. Ich neige nun die Kreisscheibe so, daſs die Linien ΞO und $O\Pi$ in ihrer Ebene zu liegen kommen und werde sie dadurch der Ebene $K\Lambda MN$ parallel gestellt haben.

XVIII. Ein Bodenstück so zu wölben, daſs es nach Maſsgabe eines gegebenen Kreisabschnittes eine kugelige Oberfläche hat.

Der gegebene Boden sei $AB\Gamma\Delta$, sein Mittelpunkt E. Durch den Punkt E ziehe man vermittelst der Dioptra beliebig viele gerade Linien auf dem Erdboden, $A\Gamma$, $B\Delta$,




Fig. 99.

ZH und $K\Theta$, auf denen Pflöcke senkrecht eingerammt werden sollen. Wie wir nun für eine Gerade den Beweis liefern werden, so soll er auch für die übrigen gedacht werden. Die Linie $B\Delta$ werde mit den Pflöcken ΛM,

ΝΞ, ΟΠ, ΡΣ, ΤΥ πασσάλοις· τὸ δὲ τῆς διόπτρας τύμπανον ἔστω τὸ ΦΧΨ, ὅμοιον τῷ τῆς κυρτώσεως τμήματι· καὶ πάλιν καθεστάτω ὀρθῶς πρὸς τὸν ὁρίζοντα, ὥστε κανόνος ὁμοίως παρατεθέντος τοῦ Ως, τὰς ἀπὸ τοῦ Ω ἐπὶ τὰ Φ, Ψ ἐπιζευγνυμένας ἀκτῖνας καὶ 5
ἐκβαλλομένας νεύειν ἐπὶ Β, Δ σημεῖα. εἶτα διὰ τοῦ Ω πάλιν καὶ τῆς ΦΧΨ περιφερείας τεθεωρήσθω ἐπὶ τῶν πασσάλων σημεῖα τὰ Μ, Ξ, Π, Σ, Υ· ταῦτα δὲ ἔσται ἐπὶ τοῦ τμήματος τῆς κυρτώσεως. καὶ ἐπὶ τῶν
p. 250 *λοιπῶν δὲ εὐθειῶν ἡ αὐτὴ πασσαλοκοπία καὶ διοπ-* 10
τρ⟨εί⟩α γεγενήσθω, καὶ ληφθέντων ἐν τοῖς πασσάλοις σημείων ἐγχωννύσθω ὁ τόπος ἄχρι τῶν ληφθέντων σημείων καὶ ἔσται ἡ κύρτωσις τοῦ τόπου σφαιρικὴ ὁμοία τῷ εἰρημένῳ τμήματι.

ιθ. Ἔδαφος ἐγκλῖναι ἐν δοθείσῃ γωνίᾳ, ὥστε τὸ 15
κλίμα αὐτοῦ ἐφ' ἓν νεύειν σημεῖον δοθέντος ἀκλινοῦς τόπου ἐν παραλληλογράμμῳ ἰσοπλεύρῳ.

Ἔστω παραλληλόγραμμον ἰσόπλευρον τὸ ΑΒΓΔ, ἡ δὲ γωνία, ἐν ᾗ βουλόμεθα ἐγκλῖναι τὸ ἔδαφος, ἡ ὑπὸ ΕΖΗ. ἀπὸ 20
δὲ τῶν Α, Β, Δ ⟨σημείων⟩ τῷ ὑποκειμένῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνεστάτωσαν αἱ ΑΘ, ΒΚ, 25




Fig. 100a.

ΔΛ· τὸ δὲ Γ σημεῖον ἔστω, ὅπου βουλόμεθα τὴν κλίσιν νεύειν. καὶ τῇ ΑΓ ἴση κείσθω ἡ ΖΗ, τῇ δὲ

---

3 ὀρθῶ 4 ΩΤ 5 ἀπὸ τοῦ β (ω sic, non ∞) ἐπὶ τὰ φχψ, sed χ del. m. 1 7 τεθεωρείσθω 10 δὲ 10—11 καὶ διόπτρα: correxi 12 εγχωνύσθω 19 βουλωμεθα 27 ΑΛ f. ὅποι

$N\Xi$, $O\Pi$, $P\Sigma$, $T\Upsilon$ besetzt, und $\Phi X\Psi$ sei die Kreisscheibe der Dioptra, welche dem Abschnitt der Wölbung ähnlich ist. Sie soll wieder senkrecht zum Horizont aufgestellt werden, so daſs wenn in ähnlicher Weise (wie 5 bei dem vorhergehenden Probleme) eine Richtlatte $\Omega\varsigma$ daneben aufgepflanzt wird, die von Ω nach Φ und Ψ laufenden und drüber hinaus verlängerten Strahlen nach den Punkten B und Δ hingehen. Sodann sollen wiederum durch Ω und den Peripherieabschnitt $\Phi X\Psi$ hindurch auf 10 den Pflöcken die Punkte M, Ξ, Π, Σ, Υ anvisiert werden; diese werden dann auf dem Wölbungsabschnitt liegen. Auch auf den übrigen Geraden soll dasselbe Verfahren mit den Pflöcken und der Dioptra angewandt werden, und nachdem so auf den Pflöcken Punkte genommen sind, 15 soll das Terrain bis zu diesen Punkten aufgeschüttet werden. Die Krümmung des Terrains wird dann eine kugelförmige und dem genannten Schnitt ähnliche sein.

XIX. Eine Bodenfläche, die in einem gegebenen Winkel geneigt ist, so herzustellen, daſs die Neigung nach einem 20 Punkte hin stattfindet, wenn ein nicht geneigtes Terrain in einem gleichseitigen Parallelogramm gegeben ist.




Fig. 100 b.

Es sei $AB\Gamma\Delta$ das 25 gleichseitige Parallelogramm und EZH der herzustellende Neigungswinkel des Terrains. Von A, B, Δ 30 aus sollen senkrecht zu der gegebenen Ebene die Geraden $A\Theta$, BK, $\Delta\Lambda$ errichtet werden, der Punkt Γ sei der, 35 nach dem die Neigung hingehen soll. Nun werde $ZH = A\Gamma$ gemacht und rechtwinklig zu ZH die Gerade EH gezogen; ferner werde $A\Theta = EH$ gemacht und

ΖΗ πρὸς ὀρθὰς ἤχθω ἡ ΕΗ· τῇ δὲ ΕΗ ἴση κείσθω ἡ ΑΘ· καὶ τῇ ΑΓ προσευρήσθω ἡ ΑΘ, ἐν τῷ τῆς ΖΗ πρὸς ΗΕ λόγῳ καθέτου οὔσης τῆς ΕΗ. ἐὰν δὴ fol. 71ʳ *νοήσωμεν ἐπιζευγνυμένην | τὴν ΘΓ, ἔσται ἡ ὑπὸ ΘΓΑ γωνία κλίσις. ἔστω δὲ ἡ ἀπὸ τοῦ Β ἐπὶ τὴν ΑΓ* 5 *κάθετος ἡ ΒΜ· καὶ τῇ ΓΜ ἴση κείσθω ἡ ΖΝ, τῇ δὲ ΗΕ παράλληλος ἤχθω ἡ ΝΞ, τῇ δὲ ΝΞ ἴση κείσθω ἑκα-* p. 252 *τέρα τῶν ΒΚ, ΔΛ· καὶ ἐπεζεύχθωσαν αἱ ΘΚ, ΚΓ, ΓΛ, ΛΘ. ἔσται δὴ τὸ ΘΚΓ⟨Λ⟩ ἐπίπεδον κεκλιμένον πρὸς τὸ Α⟨Β⟩ΓΔ ἐν τῇ ὑπὸ ΘΓΑ γωνίᾳ, τουτέστι* 10 *τῇ ὑπὸ ΕΖΗ. ἐὰν γὰρ νοήσωμεν τῇ ΑΘ παράλληλον γινομένην τὴν ΜΟ, καὶ ἐπιζεύξωμεν τὴν ΟΚ πίπτουσαν ἐπὶ τὸ Λ, ἡ μὲν ΜΟ ἴση ⟨ἔσται⟩ τῇ ΝΞ. ἡ δὲ ΚΟ ἴση ⟨καὶ⟩ παράλληλος τῇ ΒΜ, πρὸς ὀρθὰς δὲ τῇ ΘΓ· ὥστε κέκλιται, ὡς εἴρηται, τὸ ἐπίπεδον.* 15 *ἐὰν δὲ ὁ τόπος ὁ δοθεὶς ἐν τυχόντι ᾖ τετραπλεύρῳ, ὥστε τὰς διαγωνίους αὐτοῦ μὴ πρὸς ὀρθὰς ἀλλήλαις ⟨εἶναι⟩, τῆς ΒΜ πρὸς ὀρθὰς οὔσης τῇ ΑΓ, ἴσην θήσομεν τὴν ΞΝ, τῇ δὲ ΞΝ τὴν ΒΚ, ὡς εἴρηται, ἀπὸ τοῦ Β κάθετον ἀγαγόντες ἐπὶ τὴν ΑΓ. καὶ ταὐτὰ* 20 *ποιήσαντες τοῖς ἐπὶ τῆς ΒΜ,ποριούμεθα τὸ μέγεθος τῆς ΔΛ. ἐγχωσθήσεται οὖν ὁ τόπος ἄχρι τῶν ΘΚ, ΚΓ, ΓΛ, ΛΘ εὐθειῶν· καὶ τὸ ἐπίπεδον ἀπεργασθὲν ἕξει τὴν εἰρημένην ἔγκλισιν.*

fol. 71ᵛ | *κ. Ὑπονόμου ὄντος, εὑρεῖν ἐν τῷ ὑπερκειμένῳ* 25 *ἐδάφει τόπον, τουτέστι σημεῖον, ἀφ' οὗ φρεατίας γενηθείσης ἐπὶ τὸν δοθέντα ὑπόνομον καταντήσομεν*

---

4 *ΟΓ* 8 *επεζέυ̃θωσαν* (sic) 9 *ΓΔ* 12 *ἴσον γινομένην* *ἐ|πιζευξομεν* 13 *ΜΟ ιση ιση τῇ* 18 ⟨*εἶναι*⟩ addidi *τῇ ΒΜ* *οὔση* 20 *ταῦτα*: correxi 25 *ὑποκειμένῳ*: correxi

zu $A\Gamma$ werde $\Lambda\Theta$ hinzugefunden im Verhältnis $ZH : HE$, wobei EH eine Kathete ist. Denken wir uns nun die Verbindungslinie $\Theta\Gamma$ gezogen, so wird der Winkel $\Theta\Gamma\Lambda$ die Neigung darstellen. Es sei nun BM die Senkrechte von B auf $A\Gamma$ und ZN werde gleich ΓM gemacht, ferner zu HE die Parallele $N\Xi$ gezogen. Nun sollen BK und $\Delta\Lambda$ beide gleich $N\Xi$ gemacht werden. Und man ziehe die Verbindungslinien ΘK, $K\Gamma$, $\Gamma\Lambda$, $\Lambda\Theta$. Es wird also die Ebene $\Theta K\Gamma$ gegen $AB\Gamma\Delta$ in dem Winkel $\Theta\Gamma\Lambda$, d. h. EZH geneigt sein. Denn wenn wir uns zu $\Lambda\Theta$ die Parallele MO gezogen denken und die Verbindungslinie OK ziehen, die nach dem Punkte Λ geht, so wird $MO = N\Xi$ sein, KO gleich und parallel BM sein und im rechten Winkel zu $\Theta\Gamma$ laufen. Die Ebene ist also in der angegebenen Weise geneigt.

Wenn aber die gegebene Stelle in einem beliebigen Viereck liegt, so daſs dessen Diagonalen nicht senkrecht aufeinander stehen, so werden wir in der Gröſse von BM, das im rechten Winkel zu $A\Gamma$ steht, ΞN abtragen, in der Gröſse von ΞN aber BK, wie gesagt worden ist, nachdem wir von B eine Kathete auf $A\Gamma$ gezogen haben. Und nachdem wir dasselbe wie mit BM gethan haben, werden wir die Gröſse von $\Delta\Lambda$ bestimmen. Die Stelle wird nun bis zu den Geraden ΘK, $K\Gamma$, $\Gamma\Lambda$, $\Lambda\Theta$ aufgeschüttet werden und die dadurch hergestellte Ebene wird die angegebene Neigung haben.

XX. Wenn ein unterirdischer Kanal gegeben ist, auf dem vorliegenden Boden einen Ort, d. h. einen Punkt zu finden, von dem aus ein Brunnenschacht gegraben werden muſs, um auf einen gegebenen unterirdischen Punkt zu treffen, so daſs wenn beispielsweise ein Einsturz in dem unterirdischen Kanal erfolgt ist, man durch den Brunnen das Material zur Ausräumung des Kanals und zur Wiederherstellung desselben transportieren kann.

Der gegebene unterirdische Kanal sei $AB\Gamma\Delta E$ und $H\Theta$ und $K\Lambda$ Schachte, die zu ihm hinführen; der ge-

τόπον, ὥστε εἰ τύχοι πτώματος ἐν τῷ ὑπονόμῳ γενη-
p. 240 θέντος διὰ τῆς φρεατίας ἀναφέρεσθαι τὴν ὕλην τὴν
πρὸς τὴν κάθαρσιν τοῦ ὑπονόμου καὶ τὴν πρὸς τὴν
ἐπισκευήν. ἔστω ὁ δοθεὶς ὑπόνομος ὁ *ΑΒΓΔΕ*· φρεα-
τίαι δὲ φέρουσαι εἰς αὐτὸν αἱ *ΗΘ*, *ΚΛ*· τὸ δὲ 5
σημεῖον τὸ δοθὲν ἐν τῷ ὑπονόμῳ, ἐφ' ὃ δεῖ τὴν
φρεατίαν ἐλθεῖν, τὸ *Μ*. κεχαλάσθωσαν σπάρτοι διὰ
τῶν *ΗΘ*, *ΚΛ* φρεατιῶν βάρη ἔχουσαι, αἱ *ΝΞ*, *ΟΠ*·
καὶ κατασταθεισῶν αὐτῶν ἀκινήτων διὰ μὲν τῶν *Ο*,
Ν σημείων εὐθεῖά τις εἰλήφθω ἐν τῷ ἐπάνω ἐδάφει 10
ἡ *ΟΝΡ*· διὰ δὲ τῶν *Π*, *Ξ*, ἐν τῷ ὑπονόμω, ἡ *ΠΞΣ*,
προσπίπτουσα ἑνὶ τῶν τοῦ ὑπονόμου τοίχων κατὰ τὸ
Σ· καὶ τῇ *ΠΣ* ἴση ⟨κείσθω⟩ ἡ *ΟΡ*. καὶ λαβὼν σχοι-
νίον εὖ ἐκτεταμένον καὶ προβεβασανισμένον, ὥστε μηκέτι
ἐπεκτείνεσθαι ἢ συστέλλεσθαι, τὴν μὲν ἀρχὴν αὐτοῦ | 15
fol. 72ʳ τίθημι πρὸς τῷ *Σ*. λαβὼν δέ τι σημεῖον ἐπὶ τοῦ
ΑΒΓ τοίχου τὸ *Τ*, ἐπεκτείνω τί σχοινίον ἐπὶ τὸ *Τ*,
καὶ ὁμοίως ἐπὶ τὸ *Π*, καὶ σημειωσάμενος τὰ μήκη τῶν
ΤΣ, *ΤΠ* ἐφαρμόζω αὐτὰ ἐν τῷ ἐπάνω ἐδάφει, ὥστε
γενέσθαι τρίγωνον τὸ *ΡΥΟ*, τὴν μὲν *ΡΥ* ἴσην ἔχον 20
τῇ *ΤΣ*, τὴν δὲ *ΥΟ* τῇ *ΤΠ*. εἶτα πάλιν λαβὼν ἕτερον
σημεῖον τὸ *Χ* ἐπεξέτεινα τὸ σχοινίον, ὥστε ποιῆσαι
τὸ *ΤΣΧ* τρίγωνον· καὶ πάλιν τοῦτο ἐν τῷ ἐπάνω
ἐδάφει ἐφαρμόζω, ὥστε γενέσθαι τὸ *ΡΥΦ*, τὴν μὲν
ΡΦ ἴσην ἔχον τῇ *ΧΣ*, τὴν δὲ *ΥΦ* τῇ *ΤΧ*. εἶτα πάλιν 25
ἐπὶ τῆς *ΣΧ* ἕτερον τρίγωνον συστησάμενος τὸ αὐτὸ
συνίσταμαι καὶ ἐπὶ τῆς *ΦΡ*, ἄχρις ἂν συνεγγίσω τῷ
Μ σημείῳ. καὶ ἵνα μὴ ποικιλογραφῶμεν, ἐπιχθεῖσα τῷ

---

4 ὑπο νόμον 4—5 φρεατία δε φέρουσα εἰς αὐτὸν ἡ 8 φρεα-
τίας 13 supplevi 16 τῶ *Ο* 17 τί: f. τὸ 18—19 τῶν *ΠΣ*
21 τῇ *ΠΣ* 23 τὸ *ΤΡΧ* 28 ἐπιχθεισα: f. ἐπιδειχθεῖσα

gebene Punkt in dem Kanal, zu dem der (neu zu grabende) Schacht hingehen soll, sei M. Man lasse in den Schachten $H\Theta$ und $K\Lambda$ Fäden mit Gewichten, $N\Xi$ und $O\Pi$ hinab. Und nachdem diese zur Ruhe gekommen sind, bestimme
5 man durch die Punkte O und N auf der oberen Erdbodenfläche eine Gerade ONP, sowie durch die Punkte




Fig. 101.

Π und Ξ in dem Kanal die Gerade $\Pi\Xi\Sigma$, welche eine der Wände der unterirdischen Kanals in Σ trifft. Und es werde $OP = \Pi\Sigma$ gemacht. Ich nehme nun ein Mefs-
10 band, das gehörig ausgereckt und vorher ausprobiert ist, so dafs es sich nicht mehr ausdehnt oder zusammenzieht, und lege das eine Ende desselben an den Punkt Σ. Ich nehme nun irgend einen Punkt T auf der Wand $AB\Gamma$

σχοινίῳ ἡ ΣΜ ἐπὶ τὸ ς ἐκβεβλήσθω, καὶ ἐπεζεύχθω ἡ ςΧ· καὶ ἐπὶ τῆς ΦΡ τρίγωνον ἔστω ΦΨΡ, ἴσην ἔχον τὴν μὲν ΡΨ τῇ Σς, τὴν δὲ ΦΨ τῇ ςΧ· καὶ τῇ ΜΣ ἴση κείσθω ἡ ΡΩ· ἔσται δὴ τὸ Ω σημεῖον κατὰ κάθετον κείμενον τῷ Μ σημείῳ. φρεατίας ἄρα ὀρυχ- 5
242 θείσης ἀπὸ τοῦ Ω, ὀρθὴ ἔσται ἡ ὀρυγὴ πίπτουσα ἐπὶ τὸ Μ· τοῦτο δὴ φανερὸν διὰ τὸ τὰ τρίγωνα τὰ ἐν τῷ ὑπονόμῳ καὶ τὰ ἐν τῷ ἐδάφει ἴσα τε καὶ ὅμοια εἶναι, καὶ ὁμοίως κείμενα. πειρᾶσθαι δὲ δεῖ τὰ τρίγωνα ἀκλινῆ καθιστᾶν, ὅπως αἱ ἀπὸ τῶν γωνιῶν ἐπὶ τὰς 10 γωνίας ἐπιζευγνύμεναι κάθετοι ὦσιν ἐπὶ τὸν ὁρίζοντα.

fol. 72r p. 254 κα. | Διὰ διόπτρας ἀπολαβεῖν ἀπὸ ἡμῶν διάστημα ἐπὶ τῆς δοθείσης εὐθείας, ἴσον τῷ δοθέντι διαστήματι. ἔστω ἡ δοθεῖσα εὐθεῖα ἐφ' ἧς δεῖ ἀπολαβεῖν ⟨ἡ ΑΒ· τὸ δὲ δοθὲν διάστημα ὃ δεῖ ἀπολαβεῖν⟩ ἔστω τὸ ΑΒ· 15 ἀφ' οὗ δὲ δεῖ σημείου ἀπολαβεῖν, ἔστω τοῦ Α. ἐλθὼν ἐπί τινος ἀκλινοῦς ἐπιπέδου τόπου οἷον τοῦ ΓΔ, τίθημι τὴν διόπτραν τὴν ΕΖ· καὶ ταύτης ἔμπροσθεν κανόνα ὀρθὸν, μήκους ὡς πηχῶν ι, τὸν ΗΘ, ἀπέχοντα ἀπὸ τῆς διόπτρας, τουτέστιν ἀπὸ τοῦ Ε σημείου, ὃ βούλομαι 20 διάστημα, ἔστω δὴ πηχῶν γ. ἀπέλαβον οὖν ἀπὸ τοῦ Ε ἐν ἐπιπέδῳ εὐθεῖαν τὴν ΕΔ πηχῶν ὅσων ἐὰν βούλωμαι, ἔστω δὴ πηχῶν φ, καὶ καταλείψας σημεῖον πρὸς τῷ Δ, ἐγκλίνω τὸν ἐν τῇ διόπτρᾳ κανόνα, ἄχρις ἂν φανῇ δι' αὐτοῦ τὸ Δ σημεῖον. καὶ μένοντος αὐτοῦ 25
fol. 72v ἀκινήτου, ἀντιπεριστὰς ἔλαβον | δι' αὐτοῦ σημεῖον ἐπὶ τοῦ ΗΘ κανόνος τὸ Μ, καὶ ἐπέγραψα πηχῶν φ. εἶτα πάλιν ἀπολαβὼν ἑτέρους πήχεις ὅσους ἂν βούλωμαι ἐπὶ τῆς ΕΔ, οἷον εἰ τύχοι πήχεις υ ἐπὶ τῆς ΕΝ, καὶ

2 τρίγωνον ἐν τῷ ΦΨΡ 3 τῇ δὲ ΦΨ τὴν ςΧ 4 ἡ ΡΒ τὸ Β 6 τοῦ Β 10 γονιῶν 14 supplevi 23 κατα-

an und spanne dann das Meſsband nach T und ebenso nach Π hin. Und nachdem ich die Längen von $T\Sigma$ und $T\Pi$ notiert habe, übertrage ich dieselben auf die obere Erdbodenfläche, so daſs das Dreieck $P\Upsilon O$ entsteht, in dem $P\Upsilon = T\Sigma$, $\Upsilon O = T\Pi$ ist. Ich nehme darauf wieder einen anderen Punkt X und spanne das Meſsband aus, so daſs ich das Dreieck $T\Sigma X$ entstehen lasse. Und dieses übertrage ich wiederum auf die obere Erdbodenfläche, so daſs $P\Upsilon\Phi$ entsteht, in dem $P\Phi = X\Sigma$, $\Upsilon\Phi = TX$ ist. Nachdem ich sodann wiederum auf ΣX (als Grundlinie) ein anderes Dreieck konstruiert habe, konstruiere ich ebendasselbe auch auf ΦP, bis ich mich dem Punkte M genähert habe. Und — um weitschweifige Erörterungen zu vermeiden — nachdem die Linie ΣM mit dem Meſsband bestimmt ist, soll sie bis zum Punkte ς verlängert werden und die Verbindungslinie ςX gezogen werden. Und auf ΦP als Grundlinie soll das Dreieck $\Phi\Upsilon P$ stehen, in dem $P\Psi = \Sigma\varsigma$ und $\Phi\Psi = \varsigma X$ sein soll. Und es werde $P\Omega = M\Sigma$ angenommen. Es wird also der Punkt Ω senkrecht über dem Punkte M liegen. Wenn also von Ω aus ein Schacht gegraben wird, so wird dieser senkrecht auf den Punkt M treffen.

Dies geht daraus hervor, daſs die Dreiecke in dem Kanal und auf dem Erdboden gleich und ähnlich sind und ähnlich liegen. Man muſs aber versuchen die Dreiecke horizontal zu stellen, damit die Verbindungslinien der Scheitelpunkte der Winkel auf dem Horizonte senkrecht stehen.

XXI. Vermittelst der Dioptra von uns aus auf einer gegebenen Geraden eine Strecke abzutragen, die einer gegebenen Strecke gleich ist.

Die gegebene Gerade, auf der abgetragen werden soll, sei AB; die gegebene Strecke, welche abgetragen werden

---

λήψας 24 *τῶ* Δ: Λ Vi perperam 25 *τὸ* Δ: Λ Vi perperam 27 *τοῦ* $N\Theta$ 28 *βουλομαι* 29 *εἰ τυχη του* ENT *ἐπὶ*

καταλείψας πρὸς τῷ *N* σημεῖον, ὡσαύτως ἔλαβον ἀντιπεριστὰς ἐπὶ τοῦ *ΗΘ* κανόνος ἕτερον σημεῖον τὸ *Ξ*,
p. 256 πρὸς ὃ ἐπέγραψα πήχεις υ. καὶ οὕτως λαμβάνων ἃ βούλομαι μέτρα ἕξω ἐν τῷ *ΗΘ* κανόνι τὰς ἐπιγραφάς. στήσας οὖν καὶ τὴν διόπτραν ἐπὶ τοῦ *A* καὶ ἀποστήσας 5 τὸν τὰς ἐπιγραφὰς ἔχοντα κανόνα ἀπὸ τοῦ *A* πήχεις γ, ὅσους καὶ ὅτε τὰς ἐπιγραφὰς λαμβάνων ἀπέστησα, ἐνέκλινα τὸν ἐπὶ τῇ διόπτρᾳ κανόνα, ἄχρις ἂν δι'




Fig. 102.

αὐτοῦ φανῇ ἡ ἐπιγραφὴ τοῦ μέλλοντος ἀπολαμβάνεσθαι μέτρου· εἶτα ἀντιπεριστὰς ἔλαβον ἐπὶ τῆς *AB* 10 εὐθείας διὰ τοῦ κανόνος σημεῖον τὸ *B*· καὶ ἔσται ἀπειλημμένον τὸ *AB* διάστημα τοῦ δοθέντος τόπου. ἔστω οὖν διόπτρα μὲν ἡ *AO*, ὁ δὲ ἐν αὐτῇ κανών, δι' οὗ διοπτεύομεν, ὁ *ΠP*, ὁ δὲ τὰς ἐπιγραφὰς ἔχων κανὼν ὁ *ΣT*. 15

soll, sei die Strecke AB; der Punkt, von dem aus abgetragen werden soll, sei A. Man gehe nach einer nicht geneigten ebenen Stelle, beispielsweise ΓA, und stelle die Dioptra EZ auf, und vor ihr eine senkrecht stehende Richtlatte von ungefähr 10 Ellen Länge, $H\Theta$, die von der Dioptra, d. h. von dem Punkte E, ein beliebiges Stück abstehen soll; es sei = 3 Ellen. Ich trage nun von E aus in der Ebene eine Strecke $E\Delta$ von beliebig vielen Ellen ab: sie sei = 500 Ellen. Und nachdem ich bei Δ ein Zeichen hinterlassen habe, neige ich das Diopträlineal, bis durch dasselbe der Punkt Δ sichtbar wird. Während es nun unbeweglich in seiner Stellung verbleibt, trete ich nach seiner anderen Seite herum und bestimme durch dasselbe auf der Richtlatte $H\Theta$ den Punkt M und schreibe dazu „500 Ellen". Ich trage dann wiederum eine beliebige Anzahl von Ellen auf der Geraden $E\Delta$ ab, beispielsweise $EN = 400$ Ellen, und nachdem ich bei N ein Zeichen hinterlassen habe, bestimme ich ebenso, nachdem ich nach der anderen Seite des Instruments herumgetreten bin, auf der Richtlatte $H\Theta$ einen anderen Punkt Ξ, bei dem ich „400 Ellen" dazu schreibe. Und indem ich weiter in dieser Weise beliebige Maſse annehme, werde ich auf der Richtlatte $H\Theta$ die zugehörigen Aufschriften erhalten.

Ich stelle nun die Dioptra auch bei A auf und stelle die Richtlatte mit den Aufschriften 3 Ellen davon entfernt auf, nämlich ebensoweit, wie damals, als ich sie, um die Aufschriften zu erhalten, aufstellte, und neige das Diopterlineal, bis durch dasselbe die Aufschrift des abzutragenden Maſses sichtbar wird. Sodann trete ich nach der anderen Seite herum und bestimme auf der Geraden AB durch das Visierlineal den Punkt B. Dann wird von dem gegebenen Ort die Strecke AB abgetragen sein. Es sei nun AO die Dioptra, das Visierlineal an derselben ΠP, die Richtlatte mit den Aufschriften ΣT.

---

2 τοῦ $N\Theta$ 10 τοπομετρον, sed τοπο del. m. 1 13 ἡ AB

p. 258 κβ. Διὰ διόπτρας ἀπολαβεῖν διάστημα, ἀπὸ ἑτέρου δοθέντος σημείου ἐπί τινος εὐθείας παραλλήλου τῇ δοθείσῃ ἴσον τῷ δοθέντι διαστήματι, μὴ προσελθόντα τῷ σημείῳ μηδ' ἔχοντα τὴν εἰρημένην εὐθεῖαν, ἐφ' ἧς δεῖ ἀπολαβεῖν. ἔστω δοθὲν σημεῖον τὸ Α· καὶ 5 κείσθω πρὸς τῷ Β ἡ διόπτρα· καὶ εὑρήσθω ἡ ΑΒ εὐθεῖα ἡλίκη ἐστίν, ὡς ἐμάθομεν· καὶ ἀπειλήφθω αὐτῆς ἡ ΒΓ, μέρος ὃ βουλόμεθα. ἡ δὲ ΓΔ ἤχθω παράλληλος ᾗ βουλόμεθα εὐθείᾳ, μέρος οὖσα τοῦ δοθέντος διαστήματος, ὃ μέρος ἐστὶν καὶ ἡ ΒΓ τῆς ΒΑ. καὶ 10 διὰ τῆς διόπτρας ἡ ΒΔ εὐθεῖα προεκβεβλήσθω, καὶ ἀπ' αὐτῆς ἀπειλήφθω ἡ ΒΕ, τοσαυταπλασία οὖσα τῆς ΒΔ, ὁσαπλασία καὶ ἡ ΑΒ τῆς ΒΓ. ἔσται οὖν ἡ ΑΕ τοῦ τε δοθέντος μέτρου καὶ παράλληλος τῇ ΔΓ· τοῦτο γὰρ φανερόν ἐστι διὰ τὸ εἶναι ὡς τὴν ΑΒ 15 πρὸς τὴν ΓΒ, τήν τε ΕΒ πρὸς ΔΒ καὶ τὴν ΑΕ πρὸς ΓΔ.

p. 260 κγ. Τὸ δοθὲν χωρίον μετρῆσαι διὰ διόπτρας. ἔστω τὸ δοθὲν χωρίον περιεχόμενον ὑπὸ γραμμῆς ἀτάκτου τῆς ΑΒΓΔΕΖΗΘ. ἐπεὶ οὖν ἐμάθομεν 20 διὰ τῆς κατασκευασθείσης διόπτρας διάγειν πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ⟨ἑτέραν⟩ πρὸς ὀρθάς, ἔλαβόν τι σημεῖον ἐπὶ τῆς περιεχούσης τὸ χωρίον γραμμῆς τὸ Β, καὶ ἤγαγον εὐθεῖαν τυχοῦσαν διὰ τῆς διόπτρας τὴν ΒΗ, καὶ ταύτῃ πρὸς ὀρθὰς τὴν ΒΓ, ⟨καὶ ταύτῃ⟩ 25 ἑτέραν πρὸς ὀρθὰς τὴν ΓΖ, καὶ ὁμοίως τῇ ΓΖ πρὸς ὀρθὰς τὴν ΖΘ. καὶ ἔλαβον ἐπὶ τῶν ἀχθεισῶν εὐθειῶν συνεχῆ σημεῖα, ἐπὶ μὲν τῆς ΒΗ τὰ Κ, Λ,

---

11 διὰ τῆς ΒΔ εὐθείας τῇ διόπτρᾳ: corr. Vi προσεκβεβλήσθω: corr. Vi 13 ἔστω: corr. Vi 16 τὴν ΓΔ: corr. Vi 23 et 26 supplevi

XXII. Vermittelst der Dioptra von einem anderen gegebenen Punkte auf einer der gegebenen parallelen Geraden aus eine Strecke abzutragen, die einer gegebenen Strecke gleich sein soll, ohne dafs man sich dem Punkte 5 nähert und ohne dafs man die genannte Gerade, auf der man abtragen soll, hat.

Der gegebene Punkt sei A, und bei B sei die Dioptra aufgestellt, und die Gröfse von AB sei so, wie wir es gelernt haben, gefunden. Nun werde darauf $B\Gamma$, als ein 10 beliebiger Teil davon, abgetragen, und $\Gamma\Delta$ als Parallele zu der Geraden, welche wir zu be- 15 stimmen wünschen, gezogen, welche der ebensovielte Teil der gegebenen Strecke sein soll, als $B\Gamma$ von BA ist. Dann soll vermittelst 20 der Dioptra die Gerade $B\Delta$ noch weiter verlängert werden und auf ihr BE abgetragen werden als eine Strecke, die soviel mal so grofs als $B\Delta$ sein soll, als AB gröfser als $B\Gamma$ ist. Es wird nun AE von dem gegebenen Mafse und parallel zu $\Delta\Gamma$ sein. Dies ist nämlich klar, weil 25 $AB : \Gamma B = EB : \Delta B = AE : \Gamma\Delta$.




Fig. 103.

XXIII. Ein gegebenes Flächenstück vermittelst der Dioptra auszumessen.

Das gegebene Flächenstück sei von der unregelmäfsigen Linie $AB\Gamma\Delta EZH\Theta$ umschlossen. Da wir nun lernten, ver- 30 mittelst der dazu hergerichteten Dioptra auf jede gegebene Gerade eine andere im rechten Winkel dazu zu ziehen, so nehme ich einen Punkt auf der das Flächenstück umschliefsenden Linie, B, und ziehe vermittelst der Dioptra die beliebige Gerade BH und im rechten Winkel hierzu $B\Gamma$; 35 eine andere Gerade im rechten Winkel hierzu ΓZ, und gleichermafsen zu ΓZ im rechten Winkel $Z\Theta$. Nun nehme ich auf den gezogenen Geraden eine Reihe auf einander

Μ, Ν, Ξ, Ο· ἐπὶ δὲ τῆς ΒΓ τὰ Π, Ρ· ἐπὶ δὲ τῆς ΓΖ τὰ Σ, Τ, Υ, Φ, Χ, Ψ, Ω· ἐπὶ δὲ τῆς ΖΘ τὰ ϛ, ϙ. καὶ ἀπὸ τῶν ληφθέντων σημείων ταῖς εὐθείαις, ἐφ' ὧν ἐστι τὰ σημεῖα, πρὸς ὀρθὰς ἤγαγον τὰς Κϡ, ΛΑ, ΜΑ, ΝΒ, ΞΓ, ΟΔ, ΠΕ, Ρϛ 5
⟨ΣΖ⟩, ΤΗ, ΥΘ, ΦΔ, Χ$\overset{\alpha}{M}$, *Ψ*$\overset{\beta}{M}$, *ΩΕ, ϛ*$\overset{\gamma}{M}$,

p. 262 *ϙ*$\overset{\delta}{M}$ *οὕτως ὥστε [τὰς ἐπὶ] τὰ πέρατα τῶν ἀχθεισῶν πρὸς ὀρθὰς [ἐπιζευγνυμένας] ἀπολαμβάνειν γραμμὰς ἀπὸ τῆς περιεχούσης τὸ χωρίον γραμμῆς σύνεγγυς εὐθείας· καὶ τούτων γενηθέντων ἔσται δυνατὸν τὸ* 10
χωρίον μετρεῖν. τὸ μὲν γὰρ ΒΓΖ$\overset{\varepsilon}{M}$ *παραλληλόγραμμον ὀρθογώνιόν ἐστιν· ἔπειτα τὰς πλευρὰς ἁλύσει ἢ σχοινίῳ βεβασανισμένῳ, τουτέστιν μήτ' ἐκτείνεσθαι μήτε συστέλλεσθαι δυναμένῳ, μετρήσαντες ἕξομεν τὸ ἐμβαδὸν τοῦ παραλληλογράμμου. τὰ δ' ἐκτὸς τούτου* 15 *τρίγωνα ὀρθογώνια καὶ τραπέζια ὁμοίως μετρήσομεν, ἔχοντες τὰς πλευρὰς αὐτῶν· ἔσται γὰρ τρίγωνα μὲν ὀρθογώνια τὰ ΒΚϡ, ΒΠΕ, ΓΡϛ, ΓΣΖ, ΖΩΕ,*
Ζϛ$\overset{\gamma}{M}$, *ΘΗ*$\overset{\varepsilon}{M}$*· τὰ δὲ λοιπὰ τραπέζια ὀρθογώνια. τὰ μὲν οὖν τρίγωνα μετρεῖται τῶν περὶ τὴν ὀρθὴν γωνίαν* 20 *πολλαπλασιαζομένων ἐπ' ἄλληλα· καὶ τοῦ γενομένου τὸ ἥμισυ. τὰ δὲ τραπέζια· συναμφοτέρων τῶν παραλλήλων τὸ ἥμισυ ἐπὶ τὴν ἐπ' αὐτὰς κάθετον οὖσαν, οἷον τῶν Κϡ, ΑΛ τὸ ἥμισυ ἐπὶ τὴν ΚΛ· καὶ τῶν λοιπῶν δὲ ὁμοίως. ἔσται ἄρα μεμετρημένον ὅλον τὸ* 25

---

6 supplevit Vi *ΦΔ* *Ψ*$\overset{\varepsilon}{M}$ 7 et 8 corr. R. Schoene. 18 *τὰ ΒΚΤ*: corr. Vi 18—19 *Ζωε Ζϛ*$\overset{\varepsilon}{\mu}$ *ΘΗ*$\overset{\varepsilon}{\mu}$ 23 *ἐπ' αὐτῆς*: correxi 25 *ἀναμεμετρημένον*: corr. Vi

folgender Punkte an, nämlich auf BH die Punkte K, Λ, M, N, Ξ, O; auf $B\Gamma$ die Punkte Π und P; auf ΓZ die Punkte Σ, T, Υ, Φ, X, Ψ, Ω; auf $Z\Theta$ die Punkte ϛ




Fig. 104.

5 und ϙ. Und von den angenommenen Punkten ziehe ich im rechten Winkel zu den Geraden, auf denen die Punkte liegen, die Linien Kϡ, ΛA, M͵A, N͵B, Ξ͵Γ, O͵Δ, Π͵E,

χωρίον διά τε τοῦ μέσου παραλληλογράμμου καὶ τῶν ἐκτὸς αὐτοῦ τριγώνων καὶ τραπεζίων. ἐὰν δὲ τύχῃ ποτὲ μεταξὺ αὐτῶν τῶν ἀχθεισῶν πρὸς ὀρθὰς ταῖς τοῦ παραλληλογράμμου πλευραῖς καμπύλη γραμμὴ μὴ συνεγγίζουσα εὐθείᾳ (οἷον μεταξὺ τῶν Ξ͵Γ, Ο͵Δ γραμμὴ ἡ ͵Γ ͵Δ), ἀλλὰ περιφερεῖ, μετρήσομεν οὕτως· ἀγαγόντες ⟨τῇ⟩ Ο͵Δ πρὸς ὀρθὰς τὴν ͵Δ$\overset{\varsigma}{M}$, καὶ ἐπ' [fol. 73v] αὐτῆς λαβόντες σημεῖα συνεχῆ τὰ $\overset{\vartheta}{M}$, $\overset{\eta}{M}$, καὶ ἀ|π' αὐτῶν πρὸς ὀρθὰς ἀγαγόντες τῇ $\overset{\varsigma}{M}$͵Δ τὰς $\overset{\vartheta}{M}\overset{\iota}{M}$, $\overset{\eta}{M}\overset{\zeta}{M}$, ὥστε τὰς μεταξὺ τῶν ἀχθεισῶν σύνεγγυς εὐθείας εἶναι, [p. 264] πάλιν μετρήσομεν τό τε $\overset{\varsigma}{M}$ΞΟ͵Δ παραλληλόγραμμον καὶ τὸ $\overset{\eta}{M}\overset{\zeta}{M}$͵Δ τρίγωνον, καὶ τὸ ͵Γ$\overset{\varsigma}{M}\overset{\vartheta}{M}\overset{\iota}{M}$ τραπέζιον, καὶ ἔτι τὸ ἕτερον τραπέζιον, καὶ ἕξομεν τὸ περιεχόμενον χωρίον ὑπό τε τῆς ͵Γ$\overset{\iota}{M}\overset{\zeta}{M}$͵Δ γραμμῆς καὶ τῶν ͵ΓΞ, ⟨ΞΟ,⟩ Ο͵Δ εὐθειῶν μεμετρημένον.

κδ. Ἔστι δὲ καὶ ἄλλος τρόπος μετρήσεως. ἔστω χωρίον, ὃ δεῖ μετρῆσαι, τὸ ὑπογεγραμμένον, ἐν ᾧ διὰ τῆς διόπτρας δι' ὅλου τοῦ μήκους διήχθω τις εὐθεῖα, [p. 266] κατὰ τὸ δυνατὸν μέση τοῦ χωρίου ὡς ἔγγιστα, ἡ ΑΒ. ἐπὶ δὲ ταύτης εἰλήφθω συνεχῆ σημεῖα τὰ Γ, Δ, Ε, Ζ, Η, Θ· ἀπὸ δὲ τῶν ληφθέντων σημείων τῇ ΑΒ πρὸς ὀρθὰς ἤχθωσαν διὰ τῆς διόπτρας αἱ ΓΚ, ΓΛ, ΔΜ, ΔΝ, ΕΞ, ΕΟ, ΖΠ, ΖΡ, ΗΣ, ΗΤ, ΘΥ, ΘΦ, ὥστε

---

1 το ωρειον: corr. Vi 6 γραμμὴ τῇ Γ͵Δ περιφερῃ, μετρησωμεν 7 Δ$\overset{\varsigma}{\mu}$, sed ς in rasura m. 1 8 $\overset{\vartheta}{\mu}\ \overset{\lambda}{\mu}$ 9 fin. $\overset{\vartheta}{\mu}\ \overset{\varepsilon}{\mu}\ \overset{\tau}{\mu}\ \overline{\mu Z}$ ωστε 11 μετρήσωμεν 12 $\overset{\iota}{\mu}\ \overset{\zeta}{\mu}$ ͵Δ τρίγωνον τὸ ͵Γ $\overset{\iota}{\mu}\ \overset{\vartheta}{\mu}\ \overset{\varepsilon}{\mu}$ τραπέζιον 14 Γ $\overset{\varepsilon}{\mu}\ \overset{\zeta}{\mu}$ ͵Δ γραμμῆς 22 ΔΜ ΔΗ: corr. Vi 23 ΖΠ ΗΡ ΗΣ

$P\varsigma$, ΣZ, TH, $\Upsilon\Theta$, $\Phi\Delta$, $X\overset{\alpha}{M}$, $\Psi\overset{\beta}{M}$, ΩE, $\varsigma\overset{\gamma}{M}$, $ϙ\overset{\delta}{M}$ dergestalt, daſs die Endpunkte dieser Senkrechten von der das Flächenstück umschlieſsenden Linie Stücke, die nahezu gerade sind, abschneiden. Nachdem dies geschehen, wird es möglich sein, das Flächenstück zu messen. Denn $B\Gamma ZM$ ist ein rechtwinkliges Parallelogramm; wir werden dann also, wenn wir seine Seiten mit einer Meſskette oder einem geprüften Bande (d. h. einem, das sich weder ausdehnen noch zusammenziehen kann) messen, den Inhalt des Parallelogramms erhalten. Die auſserhalb desselben liegenden rechtwinkligen Dreiecke und Trapeze werden wir in gleicher Weise messen, da wir ihre Seiten haben. Es werden nämlich $BK\text{ϡ}$, $B\Pi E$, $\Gamma P\Sigma$, $\Gamma\Sigma Z$, $Z\Omega E$, $Z\varsigma\overset{\gamma}{M}$, $\Theta H\overset{\varepsilon}{M}$ rechtwinklige Dreiecke, die übrigen rechtwinklige Trapeze sein. Die Dreiecke nun werden gemessen, indem man die den rechten Winkel einschlieſsenden Seiten mit einander multipliziert und von dem Produkt die Hälfte nimmt; die Trapeze werden gemessen, indem man die Hälfte der Summe ihrer parallelen Seiten mit der auf sie gefällten Senkrechten multipliziert; z. B. $\frac{K\text{ϡ} + \Lambda\Delta}{2} \times K\Delta$, und ähnlich bei den übrigen. Es wird also das ganze Flächenstück durch das in der Mitte liegende Parallelogramm und die auſserhalb desselben liegenden Dreiecke und Trapeze gemessen sein.

Befindet sich zufällig zwischen den Linien, die im rechten Winkel zu den Seiten des Parallelogramms gezogen sind, eine krumme Linie, die sich nicht der Geraden nähert (wie z. B. $\Gamma\Delta$ zwischen $\Xi\Gamma$ und $O\Delta$), sondern der Kreislinie, so werden wir sie auf folgende Weise messen. Wir ziehen zu $O\Delta$ im rechten Winkel $\Delta\overset{\varsigma}{M}$, nehmen auf dieser Linie aufeinander folgende Punkte $\overset{\vartheta}{M}$ und $\overset{\eta}{M}$ an und ziehen von ihnen aus im rechten Winkel zu $\overset{\varsigma}{M}\Delta$ die Geraden $\overset{\vartheta}{M}\overset{\iota}{M}$ und $\overset{\eta}{M}\overset{\zeta}{M}$, so daſs die Linienstücke, die

πάλιν τὰς μεταξὺ γραμμὰς σύνεγγυς εὐθείας εἶναι. πάλιν οὖν διήρηται τὸ χωρίον εἰς τρίγωνα τὰ ΑΓΚ, ΑΓΛ, ΒΘΦ, ΒΘΥ, καὶ τὰ λοιπὰ τραπέζια. δυνατὸν οὖν διά τε τῶν εἰρημένων τριγώνων καὶ διὰ [τε] τῶν τραπεζίων τὸ χωρίον μετρηθῆναι. ἐὰν δὲ πάλιν 5 ἐμπέσῃ τις μεταξὺ περιφερῆς γραμμή, διελοῦμεν τὸ πρὸς αὐτῇ τραπέζιον ὡσαύτως τῷ ἐπάνω, καὶ οὕτως




Fig. 105.

μετρήσομεν. αὕτη δ' ἡ μέτρησις εὔχρηστός ἐστιν, ὅταν δέῃ καὶ διελεῖν τὸ χωρίον εἰς τὰ δοθέντα μέρη. δέον γὰρ ἔστω διελεῖν αὐτὸ εἰς ἴσα μέρη ἑπτὰ διὰ παραλ- 10 λήλων εὐθειῶν. ἐμέτρησα οὖν τὸ χωρίον, καὶ ἔλαβον τοῦ γενομένου τὸ ἕβδομον μέρος, ὥστε ἑκάστῳ μέρει τοσοῦτον ἀπονέμειν· ἐμέτρησα οὖν τὸ ΚΑΛ χωρίον, καὶ εἰ μὲν ἴσον ἐστὶν τῷ ἑβδόμῳ μέρει, ἔχομεν τὸ ΚΑΛ χωρίον· εἰ δὲ μή, προστίθημι τῷ τοῦ ΚΑΛ 15

---

4 διά τε τῶν τραπεζίων: correxi 6 περιφερὶς 7 ὡσαυτὸς 8 μετρησωμεν 13 f. ἀπονέμειν ⟨δεῖ⟩ 15 προστίθημι τὸ τοῦ

zwischen den gezogenen Geraden liegen, annähernd Gerade sind; sodann messen wir wiederum das Parallelogramm $\overset{\varsigma}{M}\Xi O{,}\Delta$ und das Dreieck $\overset{\eta}{M}\overset{\zeta}{M}{,}\Delta$ und das Trapez ${,}\Gamma\overset{\varsigma}{M}\overset{\vartheta}{M}\overset{\iota}{M}$, und ferner noch das andere Trapez, und werden so das Flächenstück gemessen haben, welches von der Linie ${,}\Gamma\overset{\iota}{M}\overset{\zeta}{M}{,}\Delta$ und den Geraden ${,}\Gamma\Xi$, ΞO, $O{,}\Delta$ umschlossen wird.

XXIV. Es giebt auch noch eine andere Art der Ausmessung.

Das zu messende Flächenstück sei das unten gezeichnete. Durch dieses lege man nach seiner ganzen Länge vermittelst der Dioptra eine Gerade, die nach Möglichkeit annähernd in der Mitte des Flächenstücks laufen soll, AB.

Auf dieser nehme man eine Reihe aufeinander folgender Punkte Γ, Δ, E, Z, H, Θ an und von den angenommenen Punkten im rechten Winkel zu AB vermittelst der Dioptra die Geraden ΓK, $\Gamma\Lambda$, ΔM, ΔN, $E\Xi$, EO, $Z\Pi$, ZP, $H\Sigma$, HT, $\Theta\Upsilon$, $\Theta\Phi$ gezogen werden, so daſs wiederum die dazwischen liegenden Linienstücke nahezu gerade sind. Wiederum ist nun das Flächenstück in die Dreiecke $A\Gamma K$, $A\Gamma\Lambda$, $B\Theta\Phi$, $B\Theta\Upsilon$ und die noch übrig bleibenden Trapeze zerlegt. Dann kann man durch die bezeichneten Dreiecke und durch die Trapeze das Flächenstück messen. Findet sich darunter wieder irgend eine gekrümmte Linie, so werden wir das daran liegende Trapez in derselben Weise wie oben zerlegen und es so messen.

Diese Art der Ausmessung ist in dem Fall praktisch, wenn das Flächenstück auch in eine gegebene Anzahl von Teilen zerlegt werden soll. Es sei nämlich die Aufgabe, es durch parallele Gerade in 7 gleiche Teile zu zerlegen. Ich messe das ganze Flächenstück aus und nehme von dem Resultat den siebenten Teil, so daſs ich ebensoviel für jeden Teil zu vergeben habe. Nun messe ich das Flächenstück $K A\Lambda$. Wenn es gleich einem solchen siebenten Teile ist, so haben wir das Flächenstück $K A\Lambda$ (von der

τὸ τοῦ *ΚΛΜΝ* ἐμβαδόν· καὶ εἰ μὲν ἴσον εὑρεθείη τῷ ⟨ἑβδόμῳ⟩ μέρει, ἔσται ἡ *ΜΝ* ἀφορίζουσα τὸ ἓν τῶν μερῶν. εἰ δὲ μεῖον εὑρεθείη, δεήσει πάλιν προσθεῖναι καὶ τὸ τοῦ *ΜΝΞΟ* ἐμβαδόν, ἄχρις ἂν ἴσον γένηται τῷ ἑβδόμῳ μέρει ἢ ὑπερβάλῃ. ὑπερβεβλήκέτω 5 οὖν προστεθέντος τοῦ *ΞΟΠΡ*. δεήσει ἄρα ἀπὸ τοῦ *ΞΟΠΡ* ἀφελεῖν χωρίον ἴσον τῷ ὑπερβάλλοντι, οἷον fol. 74ʳ τὸ *ΠΡΧΨ* |. ὥστε δεήσει ἐπίστασθαι, ἀπὸ τοῦ δοθέντος τραπεζίου ὡς δεῖ ἀφελεῖν τραπέζιον ἴσον τῷ δοθέντι· τοῦτο δὲ ἑξῆς δείξομεν. οὐκοῦν ἔσται τὸ *ΧΛΨ* χωρίον 10 ἓν τῶν μερῶν. πάλιν οὖν τῷ *ΠΧΨΡ* προσέθηκα τὸ *ΠΡΣΤ*· καὶ εἰ μὲν ἴσον εἴη αὐτὸ τὸ ἐμβαδὸν ⟨τῷ p. 268 ἑβδόμῳ⟩ μέρει, ἔσται ἡ *ΣΤ* ἀφορίζουσα τὸ δεύτερον μέρος· εἰ δὲ ὑπερβάλοι, πάλιν δεήσει ἀφελεῖν τὸ ὑπερβάλλον ἀπὸ τοῦ *ΠΡΣΤ* τραπεζίου. καὶ οὕτως νοείσθω 15 ἐπὶ τῶν λοιπῶν μερῶν.

κε. Ὅρων χωρίου ἀφανῶν γενομένων, καταλειπομένων δὲ δύο ἢ τριῶν καὶ τοῦ μιμήματος ὑπάρχοντος, πορίσασθαι τοὺς λοιποὺς ὅρους. τοῦ δὲ καθολικωτέρου ἕνεκα σκολιωτέραν μέτρησιν καὶ μίμημα ἐκθησόμεθα. 20 ἔστω τὸ δοθὲν χωρίον, τουτέστιν τὸ μίμημα, τὸ *ΑΒΓΔΕΖΗΘ*, περιεχόμενον ὑπὸ τῶν σύνεγγυς εὐθειῶν τῶν *ΑΒ*, *ΒΓ*, *ΓΔ*, *ΔΕ*, *ΕΖ*, *ΖΗ*, *ΗΘ*, *ΘΑ*. καὶ ἤχθω τῇ *ΒΓ* πρὸς ὀρθὰς ἡ *ΒΚ*, καὶ ἐπ' αὐτὴν ⟨κάθετος ἡ *ΚΑ*· τῇ δὲ *ΑΘ* πρὸς ὀρθὰς ἡ *ΘΛ*, καὶ ἐπ' 25 αὐτὴν⟩ κάθετος ἡ *ΗΔ*· τῇ δὲ *ΗΖ* πρὸς ὀρθὰς ἡ *ΖΜ*, καὶ ἐπ' αὐτὴν κάθετος ἡ *ΜΕ*· πάλιν δὲ τῇ *ΒΓ* πρὸς ὀρθὰς ἡ *ΓΝ*, καὶ ἐπ' αὐτὴν κάθετος ἡ *ΔΝ*. δυνατὸν

---

2 suppl. Vi 4 f. *ΜΝΟΞ* 11 τὸ *ΠΨΡ* προσεθηκα τω 12—13 ἐμβαδὸν μέρος: corr. Vi; f. αὐτοῦ 14 ὑπερβαλλῃ:

erforderlichen Gröfse); wo nicht, so setze ich zum Inhalt von *ΚΑΔ* noch den Inhalt von *ΚΔΜΝ* hinzu. Und wenn es sich dann als dem siebenten Teil gleich herausstellt, so wird *ΜΝ* die Gerade sein, die eins der Teil-
5 stücke begrenzt. Ergiebt es sich als kleiner, so wird man wiederum noch den Inhalt von *ΜΝΞΟ* zusetzen müssen, bis es gleich dem siebenten Teile oder gröfser wird. Es sei gröfser geworden, nachdem *ΞΟΠΡ* zugesetzt worden ist. Dann wird man von *ΞΟΠΡ* ein Flächenstück, das
10 gleich dem Überschufs ist, abschneiden müssen, beispielsweise *ΠΡΧΨ*. Man wird daher das Verfahren kennen müssen, wie man von einem gegebenen Trapez ein einem anderen gegebenen Trapez inhaltsgleiches Trapez abschneidet; dies werden wir im Folgenden zeigen. Es wird nun also
15 das Flächenstück *ΧΔΨ* eines der Teilstücke sein. Ich setze nun wieder zu *ΠΧΨΡ* das Stück *ΠΡΣΤ* hinzu. Wenn alsdann der Inhalt des Ganzen ein gleiches Teilstück ergiebt, so wird *ΣΤ* die Linie sein, welche das zweite Teilstück begrenzt. Ist es gröfser, so wird man wiederum
20 das überschüssige Stück von dem Trapez *ΠΡΣΤ* abschneiden müssen. Und ebenso denke man sich das Verfahren bei den übrigen Teilen.

XXV. Wenn die Grenzsteine eines Flächenstücks verschwunden sind und nur zwei oder drei derselben noch
25 übrig sind und ein Handrifs vorhanden ist, die übrigen Grenzsteine zu bestimmen.

Um die Methode allgemeiner anwendbar zu machen, werden wir eine ziemlich unbequeme Vermessungsaufgabe und einen ziemlich unbequemen Plan vorlegen.

30 Das gegebene Flächenstück d. h. der Plan, sei *ΑΒΓΔΕΖΗΘ*, das von den annähernd geraden Linien *ΑΒ*, *ΒΓ*, *ΓΔ*, *ΔΕ*, *ΕΖ*, *ΖΗ*, *ΗΘ*, *ΘΑ* umschlossen wird. Nun soll zu *ΒΓ* im rechten Winkel die Linie *ΒΚ*

---

corr. Vi 20 *σχολιωτεραν*: *σχολαιοτέραν* Vi 21 *ὡς τὸ δοθὲν*: correxi sublato errore ex compendio nato 28 *ἐπ' αὐτὴν*· corr. Vi

ἄρα ἐστὶ τὰ ABK, $H\Theta\Lambda$, EZM, $\Gamma\Delta N$ τρίγωνα μετρῆσαι, τὰ δὲ καταλειπόμενα παραλληλόγραμμα τιμόντα μετρῆσαι, ἐκβάλλοντα τὰς πρὸς ὀρθὰς εὐθείας,




Fig. 106.

ὥστ' εἶναι παραλληλόγραμμα τὰ $B\Xi$, NE, HM, ΘP, p. 270 $\Xi\Pi$. δεδόσθω οὖν τὸ μίμημα, οἷον εἴρηται, ἐκ τριγώ- 5 νων καὶ παραλληλογράμμων ⟨...⟩ περιεχόμενον· μόνοι δὲ φαινέσθωσαν οἱ Θ, B, Γ ὅροι. καὶ ἐκβεβλήσθω ἡ BK ἐπὶ τὸ Γ· καὶ εἰλήφθω ἡ διὰ τῶν B, Θ σημείων εὐθεῖα διὰ τῆς διόπτρας τῇ θέσει καὶ τῷ μεγέθει· καὶ ἀπειλήφθω αὐτῆς δοθὲν ⟨μέρος⟩ ἡ BT, ἐπὶ δὲ 10 τὴν $B\Gamma$ κάθετος ⟨ἤχθω ἡ $\Theta\Sigma$, καὶ⟩ ἡ $T\Upsilon$. ἔσται ἄρα καὶ ἡ $T\Upsilon$ τὸ αὐτὸ μέρος τῆς $\Theta\Sigma$, ὃ μέρος ἐστὶν ἡ $B\Upsilon$ τῆς $B\Sigma$, ⟨καὶ ἡ BT τῆς $B\Theta$⟩. ἔχομεν δὲ ἑκατέραν τῶν $B\Sigma$, $\Sigma\Theta$, ἐκ τοῦ μιμήματος· ὥστε ἕξομεν καὶ ἑκατέραν τῶν $B\Upsilon$, ΥT. λαβόντες οὖν σχοινίον 15

2—3 τεμόντα μετρῆσαι: πέντε ὄντα μετρησόμεθα Vi 4—5 NE ΠM ΘP ΞN: corr. Vi 6 f. ⟨συγκείμενον καὶ ὑπὸ γραμμῶν σύνεγγυς εὐθειῶν⟩ R. Schoene 7 οἱ $\Theta B\Gamma$ ὅροι: [Γ] Vi 7—8 ἡ ΘK ἐπὶ τὸ Σ 10 δοθὲν vix sanum 11 τὴν BE 14 τῷ $B\Sigma$ $\Sigma\Theta$

gezogen werden und auf ihr $K\Lambda$ senkrecht stehen, zu $\Lambda\Theta$ im rechten Winkel die Linie $\Theta\Lambda$ gezogen werden und auf ihr $H\Lambda$ senkrecht stehen; zu HZ im rechten Winkel die Linie ZM gezogen werden und auf ihr ME senk-
5 recht stehen; wiederum soll zu $B\Gamma$ im rechten Winkel ΓN gezogen werden und auf ihr ΔN senkrecht stehen. Es ist also möglich die Dreiecke ABK, $H\Theta\Lambda$, EZM, $\Gamma\Delta N$ zu messen und die übrig bleibenden Parallelogramme nach ihrer Zerlegung zu messen, indem man die
10 im rechten Winkel gezogenen Geraden verlängert, so daſs $B\Xi$, NE, HM, ΘP, $\Xi\Pi$ Parallelogramme sind.

Es sei nun der Plan von der angegebenen Art gegeben, der aus Dreiecken und Parallelogrammen bestehen soll. Und nur die Grenzsteine Θ, B und Γ sollen (im
15 Terrain) noch sichtbar sein. Nun werde BK bis Γ verlängert und vermittelst der Dioptra die durch die Punkte B und Θ gehende Gerade ihrer Lage und ihrer Gröſse




Fig. 107.

nach bestimmt. Und es werde von ihr ein Stück, BT, abgeschnitten und auf $B\Gamma$ die Senkrechten $\Theta\Sigma$ und $T\Upsilon$
20 gefällt. Also wird auch $T\Upsilon$ der ebensovielte Teil von $\Theta\Sigma$ sein als $B\Upsilon$ von $B\Sigma$ ist und BT von $B\Theta$. Wir haben nun jede der beiden Geraden $B\Sigma$ und $\Sigma\Theta$ aus dem Plan Wir werden daher auch jede der beiden Geraden $B\Upsilon$ und ΥT haben. Wir nehmen nun ein Meſsband, das
25 sich nicht ausdehnt, von der Gröſse von $B\Upsilon T$, nämlich $\Phi\Psi$, und tragen auf ihm den Teil $\Phi X = B\Upsilon$ ab, das der ebensovielte Teil von $B\Sigma$ sein soll als $T\Upsilon$ von $\Theta\Sigma$

μὴ ἐκτείνεσθαι δυνάμενον, ἴσον τῇ ΒΥΤ, τὸ ΦΨ, ἐπ᾽ αὐτοῦ μέρος ἀπολημψόμεθα τὴν ΦΧ ⟨ἴσον τῇ ΒΥ, τὸ αὐτὸ μέρος τῆς ΒΣ⟩ ὃ μέρος ἐστὶν ⟨ἡ ΤΥ τῆς ΘΣ⟩ καὶ ἡ ΒΤ τῆς ΒΘ. τὰ δὲ πέρατα τοῦ σχοινίου τὰ Φ, Ψ θήσομεν πρὸς τὴν ΒΤ, ὥστε τὸ μὲν Φ πρὸς τῷ 5 *Β εἶναι, τὸ δὲ Ψ πρὸς τῷ Τ· καὶ λαβόμενοι τὸ Χ σημεῖον ἐκτενοῦμεν τὸ σχοινίον, καὶ πάντως τὸ Χ τὴν* fol. 74ᵛ *αὐτὴν θέσιν ἕξει τῷ Υ |. ἐπιζεύξαντες οὖν τὴν ΒΥ ἤτοι σπάρτῳ ἢ διόπτρᾳ ἐπ᾽ αὐτῆς θήσομεν τὸ μέτρον τῆς ΒΚ, ὃ ὑπάρχει ἐκ τοῦ μιμήματος, καὶ ἕξομεν τὸ* 10 *Κ σημεῖον. εἶτα τῇ ΒΚ πρὸς ὀρθὰς ἀγαγόντες τὴν ΚΑ καὶ θέντες ἐπ᾽ αὐτῆς τὸ μέτρον τῆς ΚΑ ἕξομεν πεπορισμένον τὸ Α σημεῖον. καὶ τὰ λοιπὰ δὲποριού-μεθα ἀκολουθοῦντες ταῖς ἐν τῷ μιμήματι πρὸς ὀρθὰς εὐθείαις, καὶ τοῖς ἐπ᾽ αὐταῖς μέτροις.* 15

p. 276 *κζ. Τὸ δοθὲν χωρίον διελεῖν διὰ τοῦ δοθέντος σημείου εἰς τὰ δοθέντα μέρη. ἔστω δὲ τὸ δοθὲν σημεῖον ὥσπερ ὕδρευμα, [ἢ] ὡς πάντες οἱ τὰς διαιρέσεις λαβόντες τῷ αὐτῷ χρῶνται ὕδατι. ἔστω τὸ δοθὲν χωρίον περιεχόμενον ὑπὸ εὐθειῶν τῶν ΑΒ, ΒΓ ⟨ΓΔ⟩,* 20 *ΔΕ, ΕΖ, ΖΗ, ΗΘ, ΘΚ, ΚΛ, ΛΑ· ἐὰν γὰρ μὴ ὦσιν αἱ τὸ χωρίον περιέχουσαι εὐθεῖαι, ἀλλ᾽ ἄτακτός τις γραμμή, ληψόμεθα ἐπ᾽ αὐτῆς ⟨συνεχῆ⟩ σημεῖα, ὥστε τὰς μεταξὺ αὐτῶν σύνεγγυς εὐθείας εἶναι. τὸ δὲ δοθὲν σημεῖον ἔστω τὸ Μ, καὶ δέον ἔστω διελεῖν* 25 *εἰς ἑπτὰ ἴσα μέρη τὸ χωρίον διὰ τοῦ Μ σημείου. ἤχθω ἐπὶ τὴν ΑΒ κάθετος ἡ ΜΝ διὰ τῆς διόπτρας,*

---

2 suppl. Vi 5—6 *πρὸς τὸ Β* 6 *τοῦ Χ* 7 *ἐκτείνομεν* 8 *τὸ Τ* 9 *θησωμεν* 10 *τῆς ΒΚΘ ὑπάρχει*: corr. Vi 14 *ἐπαυτὰσ*: correxi 18 [ἢ] delevi dubitanter 23 ⟨*συνεχῆ*⟩ addidi 27 *ἐπὶ τῆς ΑΒ*

ist und BT von $B\Theta$. Die Endpunkte des Meſsbandes $\Phi\Psi$ legen wir an BT so an, daſs Φ bei B ist und Ψ bei Γ. Und nachdem wir den Punkt X bestimmt haben, werden wir das Meſsband ausspannen, und unter allen Umständen wird X dieselbe Lage mit Υ haben. Wir ziehen nun die Verbindungslinie $B\Upsilon$ und werden mit einem Strick oder vermittelst der Dioptra auf ihr das Maſs von BK abtragen, das aus dem Plane ersichtlich ist, und so den Punkt K erhalten. Sodann ziehen wir im rechten Winkel zu BK die Gerade $K\Lambda$, und wenn wir auf ihr das Maſs von $K\Lambda$ abtragen, so werden wir den Punkt Λ bestimmt haben. Auch die übrigen Punkte aber werden wir dadurch bestimmen, daſs wir den auf dem Plan verzeichneten Senkrechten und den bei ihnen angemerkten Maſsen uns anschlieſsen.

XXVI. Ein gegebenes Grundstück mit Linien, die von einem gegebenen Punkte auslaufen, in gegebene Teile zu zerlegen. Der gegebene Punkt sei beispielsweise ein Brunnen, weil dann alle, die Teilstücke erhalten haben, dasselbe Wasser gebrauchen können.




Fig. 108.

Das gegebene Flächenstück sei umschlossen von den Geraden AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EZ, ZH, $H\Theta$, ΘK, $K\Lambda$, ΛA. Denn wenn die das Flächenstück umschlieſsenden Linien nicht Gerade sein sollten, sondern eine unregelmäſsige Linie, so werden wir auf dieser eine Reihe von Punkten in der Weise annehmen, daſs die dazwischenliegenden Linienstücke annähernd Gerade sind. Der gegebene Punkt sei M und es sei die Aufgabe, das Grundstück von dem Punkte M aus in 7 gleiche Teile zu zerlegen. Es werde auf AB

ὥστ' ἐὰν νοήσωμεν ἐπιζευχθείσας τὰς *ΜΑ*, *ΜΒ*, δυνατὸν ἔσται μετρεῖν τὸ *ΑΜ*⟨*Β*⟩ τρίγωνον. τὸ γὰρ ὑπὸ τῶν *ΑΒ*, *ΜΝ* διπλάσιόν ἐστιν τοῦ *ΑΒΜ* τριγώνου.
p. 278 δυνατὸν δέ ἐστι μετρῆσαι, ὡς προγέγραπται, καὶ ὅλον τὸ χωρίον. εἰ μὲν οὖν τὸ *ΑΒΜ* τρίγωνον ἕβδομον μέρος ἐστὶν τοῦ ὅλου χωρίου, ἔσται τὸ *ΑΒΜ* τρίγωνον ἓν τῶν μερῶν· εἰ δὲ μεῖζον, ἀφελεῖν δεῖ ἀπ' αὐτοῦ, διαγαγόντα τὴν *ΜΞ*, καὶ ποιεῖν τὸ *ΑΜΞ* τρίγωνον ἴσον τῷ ἑβδόμῳ μέρει τοῦ ὅλου χωρίου· ⟨εἰ⟩ δὲ μεῖόν ἐστι τὸ *ΑΒΜ* τρίγωνον τοῦ ἑβδόμου, δεήσει ἀπὸ τοῦ *ΒΓΜ* τριγώνου ἀφελεῖν τὸ *ΒΜΟ* τρίγωνον, ὅ, μετὰ τοῦ *ΑΜ*⟨*Β*⟩ τριγώνου, ἕβδομον ἔσται μέρος τοῦ ὅλου χωρίου· ὡς δεῖ δὲ ἀφελεῖν τρίγωνον ἢ προσθεῖναι, ἑξῆς δείξομεν. οὕτως οὖν καὶ ἐπὶ τῶν λοιπῶν τριγώνων ἐπιλογιζόμενοι διεξελοῦμεν τὸ χωρίον εἰς τὰ δοθέντα μέρη ἀπὸ τοῦ *Μ* σημείου.

κζ. Τὸ δοθὲν χωρίον μετρῆσαι μὴ εἰσελθόντα εἰς τὸ χωρίον, ἤτοι διὰ φυτείας πυκνότητα ἢ διὰ οἰκοδομημάτων ἐμποδισμὸν ἢ διὰ τὸ μὴ ἐξεῖναι εἰς τὸ χωρίον εἰσιέναι. ἔστω τὸ δοθὲν χωρίον περιεχόμενον ὑπὸ εὐθειῶν τῶν *ΑΒ*, *ΒΓ*, *ΓΔ*, *ΔΕ*, *ΕΖ*, *ΖΗ*, *ΗΘ*, *ΘΑ*. ἐκβεβλήσθωσαν αἱ *ΖΗ*, *ΘΗ* ἐπὶ τὰ
fol. 75r ἐκτὸς τοῦ χωρίου μέρη, ἤτοι διὰ | κανόνων ἢ σπάρτου· καὶ τῆς μὲν *ΖΗ* μέρος τι κείσθω ἡ *ΗΚ*, τῆς δὲ *ΘΗ*
p. 280 τὸ αὐτὸ μέρος ἡ *ΗΛ*· καὶ ἐπεζεύχθω ἡ *ΚΛ*· ἔσται δὴ καὶ ἡ *ΚΛ* τὸ αὐτὸ μέρος τῆς *ΘΖ*. καὶ ὃν λόγον ἔχει τὸ ἀπὸ τῆς *ΖΗ* πρὸς τὸ ἀπὸ τῆς *ΗΚ*, τὸν αὐτὸν λόγον ἔχει καὶ τὸ *ΖΗΘ* τρίγωνον πρὸς τὸ *ΗΚΛ* τρίγωνον, διὰ τὸ παράλληλον γίνεσθαι τὴν *ΘΖ* τῇ

7 μείζων 8 τὴν μεταξὺ: corr. Vi 18 φυτίας 25 ἐπιζεύχθω 27 πρὸς τῷ 29 f. γενέσθαι

vermittelst der Dioptra die Senkrechte MN gefällt, so dafs, wenn wir die Verbindungslinien MA und MB gezogen denken, es möglich wird, das Dreieck AMB zu messen. Denn $AB \times MN = 2 \times$ Dreieck ABM. Man kann aber in der vorbeschriebenen Weise auch das ganze Grundstück messen.

Wenn nun das Dreieck ABM gleich einem Siebentel des ganzen Grundstücks ist, so wird das Dreieck ABM eins der Teilstücke sein. Wenn es gröfser ist, so mufs man etwas davon wegnehmen, indem man die Linie $M\Xi$ zieht, und mufs das Dreieck $AM\Xi$ gleich einem Siebentel des ganzen Grundstücks machen. Ist dagegen das Dreieck ABM kleiner als ein Siebentel, so wird man von dem Dreieck $B\Gamma M$ das Dreieck BMO fortnehmen müssen, das zusammen mit Dreieck AMB, ein Siebentel des ganzen Grundstücks ausmachen wird. Wie man aber ein Dreieck zuzusetzen oder fortzunehmen hat, werden wir im folgenden zeigen. Indem wir nun auch bei den übrigen Dreiecken dieselbe Rechnung anstellen, werden wir das Grundstück vollständig in die geforderten Teilstücke mit Linien, die von dem Punkt M ausgehen, zerlegen.

XXVII. Ein gegebenes Flächenstück zu teilen, ohne dasselbe zu betreten, entweder wegen Dichtigkeit des Pflanzenbestandes oder wegen Behinderung durch Gebäude oder weil das Betreten des Grundstückes verboten ist.

Das gegebene Flächenstück soll von den Geraden AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE, EZ, ZH, $H\Theta$, ΘA umschlossen sein. Man verlängere die Linien ZH und ΘH nach den aufserhalb des Flächenstücks liegenden Teilen hin vermittelst Richtlatten oder eines Seils. Und es soll HK gleich einem bestimmten Teil von ZH, $H\Lambda$ gleich dem ebensovielten Teil von ΘH gemacht werden.

Nun ziehe man die Verbindungslinie $K\Lambda$; also wird auch $K\Lambda$ der ebensovielte Teil von ΘZ sein. Also $ZH^2 : HK^2 =$ Dreieck $ZH\Theta$: Dreieck $HK\Lambda$, weil ΘZ parallel zu $K\Lambda$ geworden ist. So wird beispielsweise, wenn $ZH = 5HK$ ist, das Dreieck $ZH\Theta = 25 \times$ Drei-

ΚΛ· οἷον, εἰ τύχοι, εἰ πενταπλασία ἐστὶν ἡ ΖΗ τῆς ΗΚ, ἔσται τὸ ΖΗΘ τρίγωνον πεντεκαιεικοσαπλάσιον τοῦ ΗΚΛ τριγώνου. δυνατὸν δὲ μετρῆσαι τὸ ΗΚΛ τρίγωνον, ἐπειδήπερ ἔχω τὰς πλευρὰς αὐτοῦ· τοῦτο γὰρ ἑξῆς δείξομεν· δυνατὸν οὖν καὶ τοῦ ΖΗΘ τρι- 5
γώνου τὸ ἐμβαδὸν πορισθῆναι. ἐὰν οὖν νοήσωμεν ἐπιζευχθείσας τὰς ΘΖ, ΘΕ, ΘΔ, ΘΓ, ΘΒ, καὶ εὕρωμεν ἑκάστου τῶν ΘΕΖ, ΘΕΔ, ΘΔΓ, ΘΓΒ, ΘΒΑ τριγώνων τὸ ἐμβαδὸν, ἔστιν καὶ ὅλου τοῦ χωρίου ⟨τὸ ἐμβαδὸν⟩ πεπορισμένον. ἐκβεβλήσθω ἡ 10
ΗΖ ἐπὶ τὸ Μ, καὶ κείσθω τῇ ΗΚ ἴση ἡ ΖΜ· καὶ ἐπὶ τῆς ΖΜ σχοινίῳ κεκλάσθωσαν αἱ ΖΝ, ΝΜ, ὥστ' ἴσην εἶναι τὴν μὲν ΖΝ τῇ ΚΛ, τὴν δὲ ΝΜ τῇ ΗΛ· ἔσται δὴ ⟨ἡ ΖΜ τῇ ΗΖ⟩ καὶ ἡ ΝΖ τῇ ΖΘ ἐπ' εὐ-θείας. ἐκβεβλήσθω δὴ καὶ ἡ ΕΖ ἐπὶ τὸ Ξ· καὶ τῆς 15
μὲν ΕΖ μέρος ἔστω ἡ ΖΞ, τῆς δὲ ΘΖ τὸ αὐτὸ μέρος ἡ ΖΟ· καὶ ἐπεξεύχθω ἡ ΞΟ· ἔσται δὴ καὶ ἡ ΞΟ τὸ αὐτὸ μέρος τῆς ΘΕ καὶ παράλληλος αὐτῇ. καὶ ἔστι ὡς τὸ ἀπὸ ΕΖ πρὸς τὸ ἀπὸ ΖΞ τὸ ΕΘΖ τρίγωνον πρὸς τὸ ΞΖΟ τρίγωνον· δυνάμεθα δὲ πορίσασθαι τὸ 20
ΞΖΟ, ἐπειδήπερ ἑκάστην τῶν πλευρῶν αὐτοῦ δυνατόν ἐστιν μετρῆσαι· ὥστε καὶ τὸ ΕΘΖ τρίγωνον πορίσα-σθαι δυνατόν ἐστιν. ὁμοίως δὴ καὶ ἑκάστου τῶν λοι-πῶν τριγώνων τὸ ἐμβαδὸνποριούμεθα· ὥστε καὶ τοῦ ὅλου χωρίου δυνατόν ἐστιν τὸ ἐμβαδὸν πορίσασθαι. 25

p. 282 *κη. Τὰ δὲ ὑπερτεθέντα νῦν δείξομεν. τραπεζίου δοθέντος τοῦ ΑΒΓΔ, παράλληλον ἔχοντος τῇ ΑΔ τὴν ΒΓ, καὶ ἔτι ἑκατέραν αὐτῶν καὶ τὴν [μὲν] ἐπ'*

---

8 *εὕρομεν* *τὸν ΘΕΖ* 10 supplevi 12 *αἱ ΖΗ ΝΜ* 13 supplevi 15 *ἐπὶ τὸ Ξ*, sed Ξ ex Ζ fec. m. 1 18 *καὶ ἔτι*: correxi *πρὸς τῷ* 19 *τριγωνω* 28 [*μὲν*] delevi

eck $HK\Lambda$ sein. Es ist nun möglich, das Dreick $HK\Lambda$ zu messen, da ich ja seine drei Seiten habe — dies werden wir nämlich im folgenden zeigen —; also ist es auch möglich, dafs der Inhalt des Dreiecks $ZH\Theta$ bestimmt 5 wird. Denken wir nun die Verbindungslinien ΘZ, ΘE, $\Theta\Delta$, $\Theta\Gamma$, ΘB gezogen und finden den Inhalt eines jeden der Dreiecke ΘEZ, $\Theta E\Delta$, $\Theta\Delta\Gamma$, $\Theta\Gamma B$, ΘBA, so ist auch der Inhalt des ganzen Flächenstücks bestimmt.

Es werde HZ bis M verlängert, und $ZM = HK$ 10 gemacht. Und auf ZM sollen vermittelst eines Mefs-




Fig. 109.

bandes die Geraden ZN und NM so im Winkel abgehen, dafs $ZN = K\Lambda$ und $NM = H\Lambda$ ist. Es wird also NZ auf einer und derselben Geraden mit $Z\Theta$ liegen. Nun werde auch EZ bis zum Punkte Ξ verlängert, und es sei 15 $Z\Xi$ ein bestimmter Teil von EZ, und ZO der ebensovielte Teil von ΘZ. Man ziehe die Verbindungslinie ΞO. Es wird also auch ΞO der ebensovielte Teil von ΘE sein und zu dieser Linie parallel. Ferner ist $EZ^2 : Z\Xi^2 =$ Dreieck $E\Theta Z$: Dreieck ΞZO. Wir können aber ΞZO bestimmen, 20 da es ja möglich ist, jede seiner Seiten zu messen; daher ist es auch möglich, das Dreieck $E\Theta Z$ zu bestimmen.

αὐτὰς κάθετον δοθεῖσαν, ἀγαγεῖν παράλληλον τῇ ΑΔ,
ὡς τὴν ΕΖ, ἀπολαμβάνουσαν τὸ ΑΔΕΖ τραπέζιον
δοθὲν τῷ μεγέθει. γεγονέτω δὴ καὶ ἐκβεβλήσθωσαν
αἱ ΒΑ, ΓΔ ἐπὶ τὸ Η· καὶ κάθετος ἡ ΗΘ. ἐπεὶ
οὖν ἑκατέρα τῶν ΑΔ, ΒΓ δοθεῖσά ἐστι τῷ μεγέθει, 5
λόγος ἄρα τῆς ΒΓ πρὸς ΑΔ δοθείς, ὥστε καὶ τῆς
ΘΗ πρὸς ΗΚ, καὶ τῆς ΘΚ ἄρα πρὸς ΚΗ· καὶ ἔστι
δοθεῖσα ἡ ΘΚ, δοθεῖσα ἄρα καὶ ἡ ΚΗ. ἀλλὰ καὶ ἡ
ΑΔ δοθεῖσα. δέδοται οὖν καὶ τὸ ΑΔΗ τρίγωνον τῷ
μεγέθει· δέδοται ἄρα καὶ ὅλον τὸ ΗΕΖ τρίγωνον· 10
λόγος ἄρα τοῦ ΗΕΖ τριγώνου πρὸς τὸ ΗΑΔ τρίγωνον
δοθείς, ὥστε καὶ τοῦ ἀπὸ ΛΗ πρὸς τὸ ἀπὸ ΚΗ λόγος
ἐστὶ δοθείς· καὶ ἔστιν δοθὲν τὸ ἀπὸ ΗΚ, δοθὲν ἄρα
καὶ τὸ ἀπὸ ΗΛ· δοθεῖσα ἄρα ἡ ΗΛ. ἀλλὰ καὶ ἡ
ΗΘ, καὶ λοιπὴ ἄρα ἡ ΛΘ δοθεῖσά ἐστι. θέσει ἄρα 15
ἡ ΕΖ· ἀλλὰ καὶ ἡ ΗΚ δοθεῖσα, καὶ λοιπὴ ἄρα ἡ
ΚΛ δοθεῖσά ἐστι. θέσει ἄρα καὶ ἡ ΕΖ. συντεθή-
fol. 75ᵛ σεται δὴ | οὕτως. ἔστω ἡ μὲν ΒΓ μοιρῶν ιδ, ἡ ⟨δὲ⟩
ΑΔ μοιρῶν ἑπτά, ἡ δὲ ἐπ' αὐτὴν κάθετος μοιρῶν ϛ.
p. 284 ἐπεὶ οὖν διπλασία ἐστὶν ἡ ΒΓ τῆς ΑΔ, ὅλη ἄρα ἡ 20
ΗΘ τῆς ΗΚ ἐστὶ διπλασίων· καὶ ἔστιν ἡ ΚΘ μοιρῶν
ϛ· ἔσται ἄρα καὶ ⟨ἡ⟩ λοιπὴ μοιρῶν ϛ· ἀλλὰ καὶ ἡ ΑΔ
μοιρῶν ζ· τὸ ἄρα ΑΔΗ τρίγωνον ἔσται μοιρῶν κα.
δέον οὖν ἔστω τὸ ἀφαιρούμενον τραπέζιον ποιεῖν μοι-
ρῶν ιθ· ὅλον ἄρα τὸ ΗΕΖ τρίγωνον ἔσται μοιρῶν υ· 25
καὶ ἐπεὶ ἡ ΗΚ μοιρῶν ἐστὶν ϛ, τὸ ἄρα ἀπ' αὐτῆς
μοιρῶν ἐστὶ λϛ. πολλαπλασιάζω οὖν τὰ λϛ ἐπὶ τὰ

---

12 πρὸς τῷ 15 ἡ ΛΗ δοθεισα θεσις, tum una littera erasa est 17 καὶ ἡ ΕΒ 19 επαυτ.σ (post τ una litt. evanuit) 20—21 ἄρα ἡ ΠΟ 27 μοιρῶν εστι λϛ (in ultima litt. aliquid correctum est)

In ähnlicher Weise werden wir auch den Inhalt jedes der übrigen Dreiecke bestimmen; daher ist es möglich, auch den Inhalt des ganzen Flächenstücks zu bestimmen.

XXVIII. Nunmehr werden wir die aufgeschobenen 5 Beweise geben. Wenn ein Trapez $AB\Gamma\varDelta$ gegeben ist, in dem $B\Gamma$ parallel $A\varDelta$ ist und diese beiden Seiten sowie die auf sie gefällte Senkrechte gegeben ist, eine Parallele zu $A\varDelta$, beispielsweise EZ, zu ziehen, welche das Trapez $A\varDelta EZ$ von gegebener Gröfse abschneiden soll.

10 Es sei geschehen; und man verlängere die Linien BA und $\Gamma\varDelta$ bis zum Punkte H, und ziehe die Kathete $H\Theta$. Da nun jede der beiden Geraden $A\varDelta$ und $B\Gamma$ ihrer Gröfse nach gegeben ist, so ist das Verhältnis




Fig. 110.

15 $B\Gamma : A\varDelta$ gegeben, daher auch das Verhältnis $\Theta H : KH$, also auch das Verhältnis $\Theta K : KH$. Nun ist ΘK 20 gegeben, also ist auch KH gegeben. Es ist aber auch $A\varDelta$ gegeben; also ist das Dreieck $A\varDelta H$ seiner Gröfse nach gegeben; mithin ist auch das ganze Dreieck HEZ gegeben. Also ist das Ver-25 hältnis des Dreiecks HEZ zu dem Dreieck $HA\varDelta$ gegeben, daher ist auch das Verhältnis $\varLambda H^2 : KH^2$ gegeben. Nun ist HK^2 gegeben, also auch $H\varLambda^2$ gegeben. Also ist $H\varLambda$ gegeben; aber auch $H\Theta$; folglich auch $\varLambda\Theta$ als Differenz; daher seiner Lage nach EZ. Aber auch HK ist gegeben; folglich 30 ist als Differenz $K\varLambda$ gegeben; mithin seiner Lage nach EZ.

Berechnet wird es nun folgendermafsen. Es sei $B\Gamma = 14$, $A\varDelta = 7$, die darauf gefällte Senkrechte $= 6$. Da nun $B\Gamma = 2 A\varDelta$, so ist $H\Theta = 2 HK$. Nun ist $K\Theta = 6$, aber $A\varDelta = 7$. Das Dreieck $A\varDelta H$ wird daher 35 $= 21$ sein. Die Aufgabe sei nun, das weggenommene Trapez $= 19$ zu machen. Das ganze Dreieck HEZ wird also $= 40$ sein. Da nun $HK = 6$, so ist $HK^2 = 36$.

υ· γίνεται ͵αυμ· καὶ παραβάλλω παρὰ τὸν κα, γίνεται
ξη ∟ ιδ΄· καὶ τούτων πλευρὰ τετραγωνικὴ γίνεται ὡς
ἔγγιστα η καὶ $\overset{ζ'}{β}$· ἔσται οὖν ἡ ΗΛ μοιρῶν η καὶ $\overset{ζ}{β}$,
ὧν ἡ ΗΚ μοιρῶν ϛ· λοιπὴ ἄρα ἡ ΚΛ μοιρῶν β καὶ
$\overset{ζ'}{β}$· ὥστ' ἐὰν ἀπὸ τῆς καθέτου ἀφέλω μοίρας δύο καὶ $\overset{ζ}{β}$, 5
καὶ παράλληλον ἀγάγω, ἔσται τὸ ἀφαιρούμενον τραπέζιον μοιρῶν ιθ.

κθ. Τριγώνου ὄντος τοῦ ΑΒΓ, καὶ καθέτου τῆς ΑΔ διαγαγεῖν τὴν ΑΕ ἀπολαμβάνουσαν τὸ ΑΒΕ τρίγωνον δοθέν. γεγονέτω. δοθὲν οὖν καὶ τὸ ὑπὸ ΑΒΕ· 10
δοθὲν ἄρα τὸ Ε. ἔστω οὖν ἡ ΑΔ κάθετος μοιρῶν
(p. 286) ϛ· τὸ δὲ ἀφαιρούμενον τρίγωνον μοιρῶν με. δὶς τὰ
με γίνονται ϙ. παραβάλλω παρὰ τὸν ϛ, γίνονται ιε.
⟨ἀπειλήφθω οὖν ἡ ΒΕ μοιρῶν ιε⟩ καὶ ἐπεζεύχθω ἡ
ΑΕ. ἔσται δὴ τὸ ΑΒΕ τρίγωνον μοιρῶν με. 15

λ. Τριγώνου δοθεισῶν τῶν πλευρῶν εὑρεῖν τὸ ἐμβαδόν. δυνατὸν μὲν οὖν ἐστιν ἀγαγόντα μίαν κάθετον καὶ πορισάμενον αὐτῆς τὸ μέγεθος εὑρεῖν τοῦ τριγώνου τὸ ἐμβαδόν· δέον δὲ ἔστω χωρὶς τῆς καθέτου τὸ ἐμβαδὸν πορίσασθαι. ἔστω τὸ δοθὲν τρίγωνον τὸ 20
ΑΒΓ, καὶ ἔστω ἑκάστη τῶν πλευρῶν δοθεῖσα· εὑρεῖν τὸ ἐμβαδόν. ἐγγεγράφθω δὲ εἰς τὸ τρίγωνον κύκλος ὁ ΔΕΖ, οὗ κέντρον ἔστω τὸ Η· καὶ ἐπεζεύχθωσαν αἱ ΗΑ, ΗΒ, ΗΓ, ΗΔ, ΗΕ, ΗΖ. τὸ μὲν ἄρα ὑπὸ ΒΓ,
ΗΕ διπλάσιόν ἐστι τοῦ ΒΗΓ τριγώνου, τὸ δὲ ὑπὸ 25
ΑΒ, ΗΔ τοῦ ΑΗΒ, τὸ δὲ ὑπὸ ΑΓ, ΗΖ τοῦ ΑΓΗ.
τὸ οὖν ὑπὸ τῆς περιμέτρου τοῦ ΑΒΓ τριγώνου καὶ

---

3 η καὶ $\overset{ξ}{Β}$ (sic) η καὶ η $\overset{ξ}{Β}$ (sic) 8 ὄντος: f. δοθέντος
13 τῶν ϛ 14 supplevi 16 cf. Heronis Rationes dimetiendi I cap. 8 p. 20 18 αὐτῆς: σ ex ν fec. m. 1 19 δεδόσθω δὲ: correxi

$$36 \times 40 = 1440$$
$$1440 : 21 = 68\tfrac{1}{2} + \tfrac{1}{14}$$
$$\sqrt{68\tfrac{1}{2} + \tfrac{1}{14}} = \text{annähernd } 8\tfrac{2}{7}.$$

Also wird $H\Lambda = 8\frac{2}{7}$ sein, wovon $HK = 6$ ist. Also ist
5 die Differenz $K\Lambda = 2\frac{2}{7}$. Wenn ich daher von der Senkrechten $2\frac{2}{7}$ abziehe und eine Parallele ziehe, so wird das abgeschnittene Trapez $= 19$ sein.

XXIX. Wenn $AB\Gamma$ ein Dreieck und $A\Delta$ seine Höhe ist, die Gerade AE zu ziehen, welche das seiner Gröfse
10 nach gegebene Dreieck ABE abschneidet.




Fig. 111.

Es sei geschehen; also ist auch der Inhalt des Dreiecks ABE gegeben; also
15 ist Punkt E gegeben. Es sei nun die Höhe $A\Delta = 6$, das wegzunehmende Dreieck $= 45$.

20
$$45 \times 2 = 90$$
$$90 : 6 = 15.$$

Man trage nun $BE = 15$ ab und ziehe die Verbindungslinie AE; dann wird Dreieck $ABE = 45$ sein.

XXX. Wenn die Seiten eines Dreiecks gegeben sind
25 seinen Inhalt zu finden.

Es ist nun möglich, wenn man eine Höhe gefällt und ihre Gröfse bestimmt hat, den Inhalt des Dreiecks zu finden. Die Aufgabe sei jedoch, ohne Zuhilfenahme der Höhe den Inhalt des Dreiecks zu bestimmen.

30 Das gegebene Dreieck sei $AB\Gamma$ und es sei jede seiner Seiten gegeben. Zu finden seinen Inhalt. Es werde in das Dreieck der Kreis ΔEZ einbeschrieben, dessen Mittelpunkt H sein soll, und die Verbindungslinien HA, HB, $H\Gamma$, $H\Delta$, HE, HZ gezogen. Also ist $B\Gamma \times HE = 2 \times$
35 Dreieck $BH\Gamma$, $AB \times H\Delta = 2 \times$ Dreieck AHB und

τῆς ΗΕ, τουτέστι τῆς ἐκ τοῦ κέντρου τοῦ ΔΖΕ
p. 288 κύκλου, διπλάσιόν ἐστι τοῦ ΑΒΓ τριγώνου. ἐκβε-
βλήσθω ἡ ΓΒ, καὶ τῇ ΑΔ ἴση κείσθω ἡ ΒΘ· ἡ ἄρα
ΘΓ ἡμίσει' ἐστὶ τῆς περιμέτρου· τὸ ἄρα ὑπὸ ΘΓ, ΕΗ,
ἴσον ἐστὶ τῷ τοῦ ΑΒΓ τριγώνου ἐμβαδῷ· ἀλλὰ τὸ 5
ὑπὸ ΘΓ, ΕΗ, πλευρά ἐστι τοῦ ἀπὸ ΘΓ ἐπὶ τὸ ἀπὸ
τοῦ ΕΗ· τοῦ ἄρα ἀπὸ ΘΓ ἐπὶ τὸ ἀπὸ ΕΗ ἡ πλευρὰ
ἔσται τὸ τοῦ τριγώνου ἐμβαδόν. ἤχθω τῇ ΗΓ πρὸς
ὀρθὰς ἡ ΗΛ, τῇ δὲ ΒΓ ἡ ΒΛ· καὶ ἐπεζεύχθω ἡ ΓΛ.
ἐπεὶ οὖν ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΓΗΛ, ⟨ΓΒΛ, 10
fol. 76ʳ γωνιῶν⟩, ἐν κύκλῳ | ἄρα ἐστὶ τὰ Γ, Η, Β, Λ· αἱ
ἄρα ὑπὸ ΓΗ, ΓΛ, δυσὶν ὀρθαῖς ἴσαι· ⟨καί⟩ διὰ τὸ
δίχα τέμνεσθαι τὰς πρὸς τῷ Η γωνίας, ταῖς ΑΗ, ΒΗ,
ΓΗ, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΗΔ τῇ ὑπὸ ΓΛΒ. ὅμοιον
ἄρα τὸ ΑΗΔ τῷ ΓΒΛ τριγώνῳ· ὡς ἄρα ἡ ΓΒ πρὸς 15
ΒΛ, ἡ ΑΔ πρὸς ΔΗ, τουτέστιν ἡ ΘΒ πρὸς ΗΕ·
καὶ ἐναλλάξ, ὡς ἡ ΓΒ πρὸς ΒΘ, ἡ ΒΛ πρὸς ΗΕ,
τουτέστιν ἡ ΒΚ πρὸς ΚΕ· καὶ συνθέντι, ὡς ἡ ΓΘ
πρὸς ΘΒ, οὕτως ἡ ΒΕ πρὸς ΕΚ. ὥστε καὶ ὡς τὸ
ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΓΘ, ⟨Θ⟩Β, οὕτως τὸ ὑπὸ ΒΕ, 20
⟨Ε⟩Γ, πρὸς τὸ ὑπὸ ΓΕ, ⟨Ε⟩Κ, τουτέστι πρὸς τὸ ἀπὸ
ΗΕ· ὥστε τὸ ἀπὸ ΓΘ ἐπὶ τὸ ἀπὸ ΕΗ, οὗ πλευρὰ
ἦν τὸ τρίγωνον, ἴσον ἔσται τῷ ὑπὸ ΓΘ, ⟨Θ⟩Β, ἐπὶ
τὸ ὑπὸ ΓΕ, ⟨Ε⟩Β. καὶ ἔσται δοθεῖσα ἑκάστη τῶν
ΓΘ, ΘΒ, ΒΕ, ΕΓ· ἡ μὲν γὰρ ΓΘ ἡμίσειά ἐστι τῆς 25
περιμέτρου· ἡ δὲ ΘΒ ὑπεροχή, ᾗ ὑπερέχει ἡ ἡμίσεια

---

5 εμβαδον 8 εσται τω τῇ ΝΓ 9 ἡ ΓΔ 12 ὑπὸ: ὑ evanuit 13 πρὸς τὸ 15—16 πρὸς ΑΒΛ sed Α del. m. 1 17 πρὸς ΝΕ 19 πρὸς ΗΚ ὥστε 20 πρὸς τὸ ὑπὸ ΓΘΒ 20—21 τὸ ὑπὸ ΒΕΓ 21 τῶ ὑπὸ ΓΕΚ πρὸς τῶ 23 τὸ ὑπὸ ΓΘΒ ἐπεὶ 26 ὑπεροχὴν ὑπερέχει

$A\Gamma \times HZ = 2 \times A\Gamma H$. Mithin ist das Produkt aus dem Umfang des Dreiecks $AB\Gamma$ und der Strecke HE, d. h. dem Radius des Kreises ΔZE, $= 2 \times$ Dreieck $AB\Gamma$. Es werde ΓB verlängert und $B\Theta = A\Delta$ gemacht. Dann ist $\Theta\Gamma$ gleich der Hälfte des Umfangs. Also $\Theta\Gamma \times EH$ $=$ Dreieck $AB\Gamma$. Aber $\Theta\Gamma \times EH = \sqrt{\Theta\Gamma^2 \times EH^2}$; also ist $\sqrt{\Theta\Gamma^2 \times EH^2} =$ dem Inhalt des Dreiecks. Man ziehe $H\Lambda$ im rechten Winkel zu $H\Gamma$, $B\Lambda$ im rechten




Fig. 112.

Winkel zu $B\Gamma$, und verbinde die Punkte Γ und Λ durch eine Gerade. Da nun jeder der beiden Winkel $\Gamma H\Lambda$ und $\Gamma B\Lambda$ ein rechter ist, so liegen Γ, H, B, Λ auf einem Kreise. Also ist die Summe der Winkel ΓHB und $\Gamma\Lambda B = 2$ Rechten und weil die Winkel bei H durch die Geraden AH, BH, ΓH halbiert werden, so ist Winkel $AH\Delta = \Gamma\Lambda B$. Also ist das Dreieck $AH\Delta$ dem Dreieck $\Gamma B\Lambda$ ähnlich.

τῆς περιμέτρου τῆς ΒΓ· ⟨ἡ δὲ ΒΕ, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς ΑΓ⟩, ἡ δὲ ΓΕ, ᾗ ὑπερέχει ἡ ἡμίσεια τῆς περιμέτρου τῆς ΑΒ· δοθὲν ἄρα καὶ τὸ ἐμβαδὸν ⟨τοῦ⟩ τριγώνου. συντεθήσεται δὴ οὕτως· ἔστω ἡ μὲν ΑΒ μοιρῶν ιγ, ἡ δὲ ΒΓ μοιρῶν ιδ, ἡ δὲ ΓΑ 5 μοιρῶν ιε. σύνθες τὰς τρεῖς, γίνονται μβ· τούτων τὸ ἥμισυ κα. ἄφελε τὰ ιγ, λοιπὸν η· καὶ τὰ ιδ, λοιπὸν ζ· καὶ τὰ ιε, λοιπὸν ς. τὰ κα, η, ζ, ς ⟨πολλαπλα- p. 290 σιασθέντα⟩ δι' ἀλλήλων γίνονται ͵ζνς· τούτων ἡ πλευρὰ ἔσται πδ. τὸ ἐμβαδὸν τοῦ τριγώνου πδ. 10

p. 294 λα. Πηγῆς ὑπαρχούσης ἐπισκέψασθαι τὴν ἀπόρρυσιν αὐτῆς, τουτέστι τὴν ἀνάβλυσιν, ὅση ἐστίν. εἰδέναι μέντοι χρὴ ὅτι οὐκ ἀεὶ ἡ ἀνάβλυσις ἡ αὐτὴ διαμένει. ὄμβρων μὲν γὰρ ὄντων ἐπιτείνεται διὰ τὸ ἐπὶ τῶν ὀρῶν τὸ ὕδωρ πλεονάζον βιαιότερον ἐκθλίβεσθαι, 15 αὐχμῶν δὲ ὄντων ἀπολήγει ἡ ῥύσις διὰ τὸ μὴ ἐπιφέρεσθαι πλέον ὕδωρ. αἱ μέντοι γενναῖαι πηγαὶ οὐ παρὰ πολὺ τὴν ἀνάβλυσιν ἴσχουσιν. δεῖ οὖν περιλαβόντα τὸ πᾶν τῆς πηγῆς ὕδωρ, ὥστε μηδαμόθεν ἀπορρεῖν, σωλῆνα τετράγωνον μολιβοῦν ποιῆσαι, στοχασά- 20 μενον μᾶλλον μείζονα πολλῷ τῆς ἀποθύσεως· εἶτα δι' ἑνὸς τόπου ἐναρμόσαι αὐτὸν ὥστε δι' αὐτοῦ τὸ ἐν τῇ πηγῇ ὕδωρ ἀπορρεῖν. δεῖ δὲ αὐτὸν κεῖσθαι εἰς τὸν ταπεινότερον τῆς πηγῆς τόπον, ὥστε ἔχειν αὐτὴν ἀπόρρυσιν· τὸν δὲ ταπεινότερον ἐπιγνωσόμεθα τῆς πηγῆς 25

---

6 συνθέντας τὰς: correxi 9 ͵ΖΗς 10 ΗΔ το 14—15 ἐπιτίθεται διατίθεται δια τὸ επὶ τῶν ὡρῶν: correxi coll. Anonymo Byz. p. 390, 1 Vi 15 πλεονάζειν βιαιότερον ἐκθλιβόμενον: correxi coll. anonymo Byz. p. 390, 2 Vinc. Similes corruptelae apud Philonem. Mech. Synt. l. V p. 80, 14 a C. Graux et apud Dionysium de imitatione p. 20, 21 ab H. Usenero sublatae sunt 17 γένναι αἵ 20 μολιβον 24 αὐτὸν: correxi

Mithin: $\Gamma B : B A = A \Delta : \Delta H = \Theta B : HE$ und
$\Gamma B : B\Theta = BA : HE = BK : KE$ und
$\Gamma\Theta : \Theta B = BE : EK$. Daher auch $\Gamma\Theta^2 : \Gamma\Theta \times \Theta B = BE \times E\Gamma : \Gamma E \times EK = BE \times E\Gamma : HE^2$.

5 Daher wird das Produkt aus dem Quadrat von $\Gamma\Theta$ und dem Quadrat von EH, aus dem die Wurzel gleich dem Dreieck war, gleich $\Gamma\Theta \times \Theta B \times \Gamma E \times EB$ sein. Und jede der Geraden $\Gamma\Theta$, ΘB, BE und $E\Gamma$ wird gegeben sein. Denn $\Gamma\Theta$ ist gleich der Hälfte des Umfangs, ΘB gleich der 10 Differenz des halben Umfangs und der Geraden $B\Gamma$; BE ist gleich der Differenz des halben Umfangs und der Geraden $A\Gamma$; ΓE ist gleich der Differenz des halben Umfangs und der Geraden AB. Also ist auch der Inhalt des Dreiecks gegeben.

15 Berechnet wird es folgendermaſsen. Es sei $AB = 13$, $B\Gamma = 14$, $\Gamma A = 15$.

$$13 + 14 + 15 = 42$$
$$\frac{42}{2} = 21$$
$$21 - 13 = 8$$
$$21 - 14 = 7$$
$$21 - 15 = 6$$
$$21 \times 8 \times 7 \times 6 = 7056$$
$$\sqrt{7056} = 84.$$

der Inhalt des Dreiecks ist $= 84$.

25 XXXI. Wenn eine Quelle vorhanden ist, ihren Abfluſs, d. h. die Menge des Wassers, das sie aufsprudeln läſst, zu untersuchen.

Man muſs jedoch wissen, daſs der Ausfluſs sich nicht stets gleich bleibt. Denn wenn Regenzeit ist, so wird er 30 stärker, weil dann das Wasser auf den Bergen in gröſseren Mengen vorhanden ist und mit stärkerer Gewalt aus dem Boden herausgepreſst wird; herrscht dagegen Trockenheit, so hört der Abfluſs auf, weil nicht mehr Wasser zuströmt.

*τόπον διὰ τῆς διόπτρας. ἀπολήψεται οὖν τὸ ἀπορ-
ρέον διὰ τοῦ σωλῆνος ὕδωρ ἐν τῷ περιστομίῳ τοῦ
σωλῆνος· οἷον ἀπολαμβάνει[ν] δακτύλους β· ἐχέτω δὲ
καὶ τὸ πλάτος τοῦ περιστομίου τοῦ σωλῆνος δακτύλους
ϛ· ἑξάκις δύο γίνονται ιβ· ⟨ἀποφανούμεθα δὴ τὴν* 5
ἀνάβλυσιν τῆς πηγῆς δακτύλων ιβ⟩. εἰδέναι δὲ χρὴ
fol. 76ᵛ *ὅτι οὐκ ἔστιν αὔ|ταρκες πρὸς τὸ ἐπιγνῶναι, πόσον
χορηγεῖ ὕδωρ ἡ πηγή, [ἢ] τὸ εὑρεῖν τὸν ὄγκον τοῦ
ῥεύματος, ὃν λέγομεν εἶναι δακτύλων ιβ, ἀλλὰ καὶ τὸ*
p. 296 *τάχος αὐτοῦ· ταχυτέρας μὲν γὰρ οὔσης τῆς ῥύσεως* 10
*πλέον ἐπιχορηγεῖ τὸ ὕδωρ, βραδυτέρας δὲ μεῖον. διὸ
δεῖ ὑπὸ τὴν τῆς πηγῆς ῥύσιν ὀρύξαντα τάφρον τηρῆ-
σαι ἐξ ἡλιακοῦ ὡροσκοπίου, ἐν τινὶ ὥρᾳ πόσον ἀπορρεῖ
ὕδωρ ἐν τῇ τάφρῳ, καὶ οὕτως στοχάσασθαι τὸ ἐπιχορη-
γούμενον ὕδωρ ἐν τῇ ἡμέρᾳ πόσον ἐστίν, ὥστ' οὐδὲ* 15
*ἀναγκαῖόν ἐστι τὸν ὄγκον τῆς ῥύσεως τηρεῖν· διὰ γὰρ
τοῦ χρόνου δήλη ἐστὶν ἡ χορηγία. [ἀποφανούμεθα δὴ
τὴν ἀνάβλυσιν τῆς πηγῆς δακτύλων ιβ].*

*λβ. Ἐπεὶ οὖν διὰ τῆς κατασκευασθείσης ἡμῖν διόπ-
τρας τὰς ἐπὶ γῆς χρείας πρὸς τὰς διοπτρικὰς ἐπαγ-* 20
*γελίας ἀπεδείξαμεν, εὔχρηστον δέ ἐστιν εἰς πολλὰ καὶ
πρὸς τὰ οὐράνια πρὸς τὸ τὰς τῶν ἀπλανῶν ἀστέρων
ἢ καὶ τῶν πλανητῶν ἀποστάσεις εἰδέναι, ἀποδείξομεν
διὰ τῆς διόπτρας ὡς δεῖ καὶ τὰ ⟨τούτων⟩ ἀποστήματα
λαμβάνειν. ἐν γὰρ τῷ ὑπὸ γαστέρα τοῦ τυμπάνου τοῦ* 25
ἐν τῇ διόπτρᾳ κύκλον γράψομεν περὶ τὸ αὐτὸ κέντρον

---

3 *ἀπολαμβάνειν*: correxi 4 *τὸ περιστόμιον* 8 *πηγὴ ἢ τὸ εὑρεῖν* 9—10 *τὸ πάχος* 11 f. *ἐπιχορηγεῖται ὕδωρ* 11—12 *διο δη* 17—18 *δὲ τὴν* 18 *δακτύλων δεδεκα* (sic); haec transposui in vs. 5. 19 *διὰ* deleverim 24 ⟨*τούτων*⟩ addidi 26 *τω αυτω κεντρω*, sed ex *τῶ αὐτω* fec. *τὸ αὐτὸ* man. 1

Die guten Quellen reduzieren jedoch ihren Abfluſs nur um ein Geringes. Man muſs nun die ganze Wasserfläche der Quelle einfassen, so daſs nirgends etwas abflieſsen kann und dann eine Bleiröhre von quadratischem Quer-
5 schnitt herstellen, indem man darauf sieht, daſs dieselbe um ein Bedeutendes gröſser ist als der regelmäſsige Abfluſs verlangt. Sodann muſs man diese an einer Stelle so einsetzen (in die Umfassungsmauer), daſs das Quellwasser durch dieselbe abflieſst. Diese Stelle muſs nach
10 der Stelle zu liegen, die niedriger als die Quelle liegt, so daſs sie Abfluſs hat. Die Stelle aber, welche tiefer als die Quelle liegt, werden wir vermittelst der Dioptra ermitteln. Das durch die Röhre abflieſsende Wasser wird nun an der Öffnung der Röhre einen gewissen Raum einnehmen.
15 Beispielsweise nimmt es 2 Daktylen (in der Höhe) ein, die Breite aber der Öffnung der Röhre soll 6 Daktylen betragen. $6 \times 2 = 12$; wir werden daher den Abfluſs der Quelle auf 12 Daktylen angeben. Man muſs jedoch wissen, daſs es, um zu erkennen, wie viel Wasser die
20 Quelle liefert, nicht genügt, die Ausdehnung des Abfluſsstroms zu kennen, welche nach unserer Behauptung 12 Daktylen beträgt, sondern man auch seine Geschwindigkeit kennen muſs. Denn ist der Abfluſs ein geschwinderer, so liefert die Quelle mehr, ist er ein langsamerer,
25 so liefert sie weniger Wasser.

Man muſs daher unterhalb des Quellabflusses ein Reservoir graben und mit einer Sonnenuhr beobachten, welches Quantum Wassers in einer bestimmten Zeit abflieſst und so annähernd bestimmen, wie groſs die Quan-
30 tität des an einem Tage gelieferten Wassers ist. Es ist daher (bei dieser Methode) gar nicht einmal nötig, die Gröſse des Abfluſsstromes zu beobachten, denn die Leistungsfähigkeit wird durch die Zeit klar.

XXXII. Da wir nun vermittelst der von uns kon-
35 struierten Dioptra die Verwendung des Instrumentes auf der Erdoberfläche bei dioptrischen Problemen nachgewiesen haben, dieselbe jedoch nach vielen Richtungen auch für

τῷ τυμπάνῳ, ὃν γράψει τὸ τοῦ μοιρογνωμονίου ἄκρον τοῦ ἐν τῷ κανόνι· καὶ τοῦτον διελοῦμεν εἰς μοίρας τξ. ὅταν οὖν βουλώμεθα δύο ἀστέρων τὸ μεταξὺ διάστημα ἐπισκέψασθαι, ὅσων μοιρῶν ὑπάρχει, ἐάν τε τῶν πλανητῶν εἴησάν τινες ἢ καὶ τῶν ἀπλανῶν ἢ καὶ ὁ 5 *μὲν ἕτερος αὐτῶν εἴη τῶν ἀπλανῶν, ὁ δὲ ἕτερος τῶν πλανητῶν, ἀφελόντες τὸν κανόνα, δι' οὗ διοπτεύομεν,* p. 298 *ἀπὸ τοῦ τυμπάνου ἐγκλίνομεν αὐτὸ τὸ τύμπανον, ἄχρις ἂν διὰ τοῦ ἐπιπέδου αὐτοῦ φανῶσιν οἱ εἰρημένοι ἀστέρες ἅμα ἀμφότεροι. εἶτ' ἐντιθεὶς τὸν κανόνα ὡς* 10 *εἴθισται, τῶν ἄλλων ἀκινήτων, ἐπιστρέψω αὐτὸν, ἄχρις ἂν εἷς τῶν ἀστέρων φανῇ· καὶ παρασημηνάμενος τὴν μοῖραν, καθ' ἣν ἓν τῶν μοιρογνωμονίων ὑπάρχει [τὸ μέρος αὐτῆς], ἐπιστρέφω τὸν κανόνα, ἄχρις οὗ καὶ ὁ ἕτερος ἀστὴρ δι' αὐτοῦ φανῇ. εἶτα ὁμοίως παρασημηνάμενος τὴν μοῖραν, καθ' ἣν τὸ αὐτὸ μοιρογνωμόνιον* 15 *ὑπάρχει, ἐπιγνώσομαι τὸ πλῆθος τῶν μοιρῶν τὸ μεταξὺ τῶν ληφθέντων δύο σημείων· καὶ τοσαύτας ἀποφανοῦμαι τοὺς ἀστέρας ἀπέχειν ἀπ' ἀλλήλων μοίρας.*

λγ. Ἐπεὶ οὖν τινὲς χρῶνται τῷ καλουμένῳ ἀστε- 20 fol. 77r *ρίσκῳ πρὸς ὀλίγας | παντελῶς διοπτρικὰς χρείας, εὔλογον ἡγούμεθα τὰ περὶ αὐτὸν συμβαίνοντα μηνῦσαι τοῖς πειρωμένοις χρήσασθαι αὐτῷ, ὅπως μὴ παρὰ τὴν ἄγνοιαν ἁμαρτάνοντες λανθάνωσιν. τοὺς μὲν οὖν κεχρημένους οἶμαι ⟨πε⟩πειρᾶσθαι τῆς δυσχρηστίας* 25 *αὐτοῦ, ὅτι αἱ σπάρται, ἐξ ὧν τὰ βάρη κρέμανται, οὐ*

---

1 *μυρογνωμονίου* 5 *πλανητων εἰ τινες* 5—6 *ὁ μὲν ἀστέρος* 11 f. *ἀκινήτων ⟨μενόντων⟩* 13—14 [*τὸ μέρος αὐτῆς*] delevi 18—19 *ἀποφαινουμαι* 20—21 *ἀστερίσκος* est *stella* gromaticorum, de qua dixit Rudorffius Gromatische Institutionen p. 337 22 *περὶ αὐτῶν*: correxi 25 *πειρᾶσθαι*: correxi 26 *αὐτῶν*: correxi *βέρη*: corr. Vi

die Himmelskunde brauchbar ist, um die Abstände der Fixsterne oder der Planeten von einander zu ermitteln, so werden wir nachweisen, wie man vermittelst der Dioptra auch deren Abstände bestimmen kann.

5 Wir werden nämlich auf der Oberfläche (?) der grofsen Kreisscheibe an der Dioptra einen Kreis um denselben Mittelpunkt mit der Kreisscheibe beschreiben und zwar so grofs, als ihn die Spitze des an dem Visierlineal befestigten Zeigers angiebt. Diesen Kreis werden wir in 10 360 Grade teilen. Wollen wir nun untersuchen, wie viel Grade der Abstand zweier Sterne von einander beträgt, seien es nun Planeten oder Fixsterne oder sei der eine ein Fixstern, der andere ein Planet, so nehmen wir das Diopterlineal, durch das wir zu visieren pflegen, von 15 der Kreisscheibe ab und neigen die Kreisscheibe selbst so lange, bis in ihrer Ebene die genannten Sterne beide zugleich sichtbar werden. Ich setze sodann das Visierlineal in der üblichen Weise wieder ein und drehe es, während die übrigen Teile unbeweglich in ihrer Stellung 20 verbleiben, so lange, bis einer der Sterne durch dasselbe sichtbar wird. Nun notiere ich mir den Grad, an welchem einer der beiden Zeiger steht, und drehe das Visierlineal so lange, bis der andere Stern durch dasselbe sichtbar wird. Ich notiere sodann in derselben Weise den Grad, 25 an welchem ebenderselbe Zeiger nunmehr steht, und werde so die Anzahl der zwischen den beiden bestimmten Punkten liegenden Grade kennen lernen, und werde behaupten können, dafs die Sterne so viele Grade von einander abstehen.

30 XXXIII. Da nun manche den sogenannten „Stern“ zu einer freilich ganz geringen Zahl dioptrischer Anwendungen gebrauchen, so halten wir für angemessen für diejenigen, welche dieses Instrument zu gebrauchen versuchen wollen, die Folgen seiner Verwendung darzulegen, damit sie nicht, 35 ohne es selbst zu merken, infolge ihrer Unkenntnis Fehler begehen. Diejenigen nun, welche das Instrument schon angewendet haben, haben, denke ich, die schlechte Ver-

300 ταχέως ἠρεμοῦσιν, ἀλλὰ χρόνον τινὰ διαμένουσι κινούμεναι, καὶ μάλιστα ὅταν σφοδρὸς ἄνεμος πνέῃ. διὸ πειρῶνταί τινες, παραβοηθεῖν βουλόμενοι ταύτῃ τῇ δυσχρηστίᾳ, ξυλίνας σύριγγας κοίλας ποιοῦντες, ἐμβαλεῖν τὰ βάρη εἰς ταύτας, ὥστε μὴ ὑπὸ τοῦ ἀνέμου 5 τύπτεσθαι. παρατρίψεως οὖν γινομένης τῶν βαρῶν πρὸς τὰς σύριγγας οὐκ ἀκριβῶς αἱ σπάρτοι ὀρθαὶ διαμένουσιν πρὸς τὸν ὁρίζοντα· ἔτι δὲ καὶ ἐὰν ἐπιτύχωσιν, ὥστε τὰς σπάρτας ἠρεμεῖν καὶ ὀρθὰς διαμένειν πρὸς τὸν ὁρίζοντα, οὐ πάντως τὰ διὰ τῶν σπάρτων 10 ἐπίπεδα πρὸς ὀρθὰς γίνεται ἀλλήλοις· τούτου δὲ μὴ γινομένου, οὐδ' αὐτοῖς κατὰ τρόπον ἀκολουθεῖ τι τῶν εν ω ερουμενων· τοῦτο γὰρ δείξομεν. ἔστω⟨σαν⟩ γὰρ ἐν ἐπιπέδῳ δύο εὐθεῖαι αἱ ΑΒ, ΓΔ, μὴ πρὸς ὀρθὰς ἀλλήλας τέμνουσαι· ἀμβλεῖα δὲ ἔστω ἡ ὑπὸ ΑΕΔ 15 γωνία· καὶ ἀπὸ τοῦ Ε τῷ διὰ τῶν ΑΒ, ΓΔ ἐπιπέδῳ πρὸς ὀρθὰς ἀνεστάτω ἡ ΕΖ· καὶ πρὸς ἑκατέραν ἄρα τῶν ΑΕ, ΕΓ, ὀρθή ἐστιν. ἡ δὲ ὑπὸ τῶν ΑΕ, ⟨Ε⟩Γ, γωνία ἡ κλίσις ἐστίν, ἐν ᾗ κέκλιται τὸ διὰ τῶν ΕΑΖ πρὸς τὸ διὰ τῶν ΓΕΖ, καὶ ἔστιν ὀξεῖα· τὰ ⟨οὖν⟩ 20 εἰρημένα ἐπίπεδα οὔκ ἐστιν ὀρθὰ πρὸς ἄλληλα. ἀπειλήφθωσαν οὖν δύο ἴσαι εὐθεῖαι αἱ ΑΕ, ΕΔ, καὶ ἐπεζεύχθω ἡ ΑΔ· καὶ ἐπ' αὐτὴν κάθετος ἤχθω ἡ ⟨Ε⟩Η· ἴση ἄρα καὶ ἡ ΑΗ τῇ ΗΔ· καὶ ἑκατέρα αὐτῶν μείζων ἐστὶ τῆς ΗΕ· δυνατὸν ἄρα ἐστὶ προσβαλεῖν 25 ἀπὸ τοῦ Η ἴσην τῇ ΑΗ τὴν ΗΖ. προσεκβεβλήσθωσαν καὶ ἐπεζεύχθωσαν ἐπὶ τὰ Κ, Λ, καὶ τῇ ΑΖ

---

1 χρονον ην ἀναμένουσαι: correxi; χρ. ἀναμένουσι Vi 4 δυσχριστία 13 ἐν ῶ ερουμένων: non extricavi; ἐρευνωμένων Vi 20 πρὸς τῶ 24 μείζων ex μεῖζον fec. m. 1 25 προσλα-

wendbarkeit desselben erprobt, insofern die Fäden, an denen die Gewichte hängen, nicht schnell zur Ruhe kommen, sondern eine gewisse Zeit in Bewegung bleiben, und zwar hauptsächlich, wenn starker Wind weht. Daher versuchen manche in dem Wunsche, diesem Übelstande abzuhelfen, hölzerne Hohlcylinder herzustellen und die Gewichte in diese hineinhangen zu lassen, so dafs sie nicht vom Winde getroffen werden. Wenn nun dabei eine Reibung zwischen den Gewichten und den Cylindern entsteht, so bleiben die Fäden nicht in einer zum Horizonte genau senkrechten Stellung. Aber selbst wenn es ihnen gelingt, so dafs die Fäden zur Ruhe kommen und in einer zum Horizont senkrechten Stellung bleiben, stehen doch nicht in jedem Fall die durch die Fäden gelegten Ebenen aufeinander senkrecht. Ist dies aber nicht der Fall, so folgt ihnen auch nichts von ⟨..........⟩ in der richtigen Weise. Dies werden wir nämlich nachweisen.




Fig. 113.

Es seien in einer Ebene zwei Gerade, AB und $\Gamma\Delta$, welche einander nicht in rechten Winkeln schneiden, und $AE\Delta$ sei ein stumpfer Winkel. Und im Punkte E werde im rechten Winkel zu der durch AB und $\Gamma\Delta$ gehenden Ebene eine Gerade EZ errichtet; sie ist also auch zu jeder der beiden Geraden AE und $E\Gamma$ senkrecht. Der Winkel $AE\Gamma$ aber ist die Neigung der Ebene EAZ zu der Ebene ΓEZ, und ist ein spitzer Winkel. Nun stehen die genannten Ebenen nicht senk-

βεῖν: correxi 26 τῇ AH τὴν EZ: correxi f. ἐπεζεύχθωσαν ⟨αἱ AZ, ΔZ⟩ καὶ προσεκβεβλήσθωσαν ἐπὶ

ἴση ἑκατέρα τῶν KZ, $Z\Lambda$. διὰ δὲ τῶν A, Δ, K, Λ
τῇ EZ παράλληλοι ἤχθωσαν αἱ AM, ΔN, $K\Xi$, ΛO·
ἡ δὲ EZ ὀρθή ἐστι πρὸς τὸ διὰ τῶν AB, $\Gamma\Delta$ ἐπί-
πεδον· καὶ ἑκάστη ἄρα τῶν AM, ΔN, $K\Xi$, ΛO ὀρθή
ἐστι πρὸς τὸ διὰ τῶν $AB\Gamma\Delta$ ἐπίπεδον. καὶ ἐπεὶ αἱ 5
τρεῖς αἱ AH, $H\Delta$, HZ ἴσαι εἰσί, πρὸς ὀρθὰς ἄρα
p. 302 ἐστὶν ἡ $A\Lambda$ τῇ ΔK. ἐὰν ἄρα ὑποστησώμεθα τὰς τοῦ
ἀστερίσκου ῥάβδους εἶναι τὰς $A\Lambda$, ΔK, τὸ δὲ διὰ
τῶν AB, $\Gamma\Delta$ ἐπίπεδον τὸ παρὰ τὸν ὁρίζοντα, τὰς δὲ
κρεμαμένας σπάρτους εἶναι ἐκ τῶν A, Λ, Δ, K, ἔσον- 10
ται αἱ σπάρτοι αἱ AM, ΔN, $K\Xi$, ΛO. καὶ οὐκ εἰσὶ
τὰ διὰ τῶν σπάρτων ἐπίπεδα ὀρθὰ καὶ πρὸς ἄλληλα,
λέγω δὴ ⟨τὸ⟩ διὰ τῶν AM, ΛO πρὸς τὸ διὰ τῶν
fol. 77ᵛ ΔN, $K\Xi$· δέδεικται γὰρ | κεκλιμένα πρὸς ἄλληλα ἐν
τῇ ὑπὸ $AE\Gamma$ γωνίᾳ ὀξείᾳ οὔσῃ. 15

p. 306 λδ. Ἀκόλουθον δὲ εἶναι νομίζομεν τῇ διοπτρικῇ
πραγματείᾳ καὶ διὰ τοῦ καλουμένου ὁδομέτρου τὰ
ἐπὶ τῆς γῆς μετρεῖν διαστήματα, ὥστε μὴ δι' ἁλύ-
σεως μετροῦντα ἢ σχοινίου κακοπαθῶς καὶ βραδέως
ἐκμετρεῖν, ἀλλ' ἐπ' ὀχήματος πορευόμενον, διὰ τῆς 20
τῶν τροχῶν ἐκκυλίσεως ἐπίστασθαι τὰ προειρημένα
διαστήματα. οἱ μὲν οὖν πρὸ ἡμῶν ἐξέθεντό τινας
μεθόδους, δι' ὧν τοῦτο γίνεται, ἐξέσται δὲ κρίνειν
τό τε ὑπὸ ἡμῶν γραφόμενον ὄργανον καὶ τὰ ὑπὸ τῶν
προτέρων. γεγονέτω οὖν πῆγμα, καθάπερ κιβώτιον, 25
ἐν ᾧ πᾶσα ἔσται ἡ μέλλουσα λέγεσθαι κατασκευή· ἐν
δὲ τῷ πυθμένι τοῦ κιβωταρίου ⟨. . . .⟩ τὸ $AB\Gamma\Delta$

---

2 $AM\,\Delta H$ 7 ἀποστησώμεθα: corr. Vi 8 ῥαδους (β supra δ) (sic)
11 $AM\,\Delta H$: corr. Vi 12 f [καὶ] 14 $\Delta H\,K\Xi$: corr. Vi
17 πραγματία 25 κηβώτιον 27 post κιβωταρίου unum aut complures versiculos hiatu absumptos excidisse Venturius statuit; f. τῷ $AB\Gamma\Delta$ ⟨. . .⟩

recht aufeinander. Man trage nun zwei gleiche Strecken AE und $E\Delta$ ab und ziehe die Verbindungslinie $A\Delta$, und fälle auf sie die Höhe EH. Also ist $AH = H\Delta$. Nun ist jede von diesen beiden Linien gröſser als HE. Es
5 ist also möglich, von dem Punkte H aus $HZ = AH$ zu konstruieren. Man ziehe nun die Verbindungslinien AZ, ΔZ und verlängere sie bis K und Λ; und es soll jede der beiden Geraden KZ und $Z\Lambda = AZ$ sein. Ferner sollen durch die Punkte A, Δ, K und Λ Parallele zu EZ ge-
10 zogen werden, AM, ΔN, $K\Xi$, ΛO. Es ist aber EZ eine Senkrechte zu der durch AB und $\Gamma\Delta$ gehenden Ebene. Also ist auch jede der Linien AM, ΔN, $K\Xi$ und ΛO senkrecht zu der durch AB und $\Gamma\Delta$ gehenden Ebene. Und da die drei Linien AH, $H\Delta$ und HZ einander
15 gleich sind, so ist $A\Lambda$ senkrecht zu ΔK. Wenn wir uns also vorstellen, $A\Lambda$ und ΔK seien die Stäbe des Sterns und die durch AB und $\Gamma\Delta$ gehende Ebene sei horizontal, die Fäden aber hingen von A, Λ, Δ und K herab, so werden AM, ΔN, $K\Xi$ und ΛO die Fäden
20 sein; und die durch die Fäden gehenden Ebenen stehen nicht aufeinander senkrecht, ich meine die durch AM und ΛO gehende Ebene im Verhältnis zu der durch ΔN und $K\Xi$ gehenden. Denn es ist gezeigt worden, daſs sie zueinander in dem Winkel $AE\Gamma$ geneigt sind, welcher
25 ein spitzer ist.

XXXIV. Es erscheint uns als eine Ergänzung zur Lehre von der Dioptra, auch vermittelst des sogenannten Wegemessers Distanzen auf der Erde zu messen, so daſs man die Operation nicht vermittelst einer Kette oder eines
30 Bandes schlecht und langsam vornimmt, sondern bei der Fahrt auf einem Wagen vermittelst der Umdrehung der Räder die vorgenannten Distanzen bestimmt. Unsre Vorgänger nun setzten einige Methoden auseinander, nach denen dies gemacht wird; man wird sich daher über das
35 Instrument, welches von uns hier beschrieben wird, ebenso wie über die von früheren Technikern beschriebenen ein Urteil bilden können.

p. 308 χάλκεον, συμφυῆ ἔχον τὰ εἰρημένα σκυτάλια· δι' ὧν
ἀνατομὴ γεγονέτω ἐν τῷ πυθμένι τοῦ κιβωταρίου,
δι' ἧς περόνη συμφυὴς γενηθεῖσα τῇ χοινικίδι ἑνὸς
τῶν τοῦ ὀχήματος τροχῶν, κατὰ μίαν στροφὴν παρεμβαί-
νουσα εἰς τὴν ἀνατομὴν τὴν ἐν τῷ τοῦ κιβωταρίου 5
πυθμένι, παράξει ἓν τῶν σκυταλίων, ὥστε τὸ ἑξῆς
σκυτάλιον τὴν αὐτὴν πάλιν θέσιν ἔχειν τῷ πρότερον,
καὶ τοῦτο ἐπ' ἄπειρον. συμβήσεται οὖν τοῦ τροχοῦ
ὀκτὼ στροφὰς ποιησαμένου τὸ σκυταλωτὸν τύμπανον
μίαν ἀποκατάστασιν εἰληφέναι. τῷ οὖν εἰρημένῳ σκυ- 10
ταλωτῷ τυμπάνῳ συμφυὴς ἔστω κοχλίας, ἀπὸ τοῦ
κέντρου πρὸς ὀρθὰς αὐτῷ πεπηγὼς, τὸ δὲ ἕτερον ἄκρον
ἔχων ἐν διαπήγματι πεπηγότι εἰς τοὺς τοῦ κιβωταρίου
τοίχους. τῷ δὲ εἰρημένῳ κοχλίᾳ παρακείσθω τύμ-
πανον ὠδοντωμένον, τοὺς ὀδόντας ἁρμοστοὺς ἔχον τῇ 15
ἕλικι τοῦ κοχλίου, δηλονότι πρὸς ὀρθὰς τῷ πυθμένι
κείμενον, καὶ ἔχον ὁμοίως συμφυῆ ἄξονα, οὗ τὰ ἄκρα
πολείσθω εἰς τοὺς τοῦ κιβωταρίου τοίχους. ἐκ δὲ τοῦ
ἑνὸς μέρους ὁ ἄξων πάλιν ἐγγεγλυμμένην ἐχέτω ἕλικα,
ὥστε εἶναι αὐτὸν κοχλίαν. καὶ πάλιν τούτῳ τῷ κοχλίᾳ 20
παρακείσθω ὀδοντωτὸν τυμπάνιον, δηλονότι παράλ-
ληλον τῷ πυθμένι κείμενον, ἔχον συμφυῆ ἄξονα· οὗ
τὸ μὲν ἕτερον ⟨ἄκρον⟩ πολείσθω ἐν τῷ τοῦ κιβωταρίου
fol. 78r πυθμένι, τὸ δὲ λοιπὸν ἐν δι¦ατοναίῳ πεπηγότι ἐν τοῖς
τοῦ κιβωταρίου τοίχοις· καὶ οὗτος οὖν ὁ ἄξων ἐκ τοῦ 25
ἑνὸς μέρους ἐχέτω ἕλικα πάλιν ἁρμόζουσαν εἰς ἑτέρου

1 τὰ εἰρημένα: τινα ἱδρυμένα Vi perperam; exspectamus σκυτάλια ὀκτώ· καὶ ἀνατομὴ 7 τὸ πρότερον 9 τι σκυταλωτὸν 10—11 τὸ οὖν εἰρημενον σκυταλίω τῶ τυμπανω: corr. Vi 11—12 ἀπὸ τοῦ καντου: correxi; ἄκρου Vi 15 ὀδοντωμένον 17 ἄξωνα 18 ἀπολειπέσθω: corr. Vi 20 εἶναι τὸν 22 ἄξωνα 25 οὕτως ὧν: corr. R. Schoene.

Es werde ein Gehäuse in Form eines kleinen Kastens hergestellt, in welchem die ganze, nachher zu beschreibende Konstruktion ihren Platz haben soll. Auf dem Boden des Kästchens liege ⟨. . . . .⟩ die Bronzescheibe $AB\Gamma\Delta$,
5 mit welcher die genannten 8 kleinen Stäbe fest verbunden sein sollen. Es werde ferner auf dem Boden des Gehäuses ein Ausschnitt angebracht, durch den ein an der Nabe eines der Wagenräder befestigter Stift, bei jeder




Fig. 114.

Drehung in den am Boden des Gehäuses angebrachten
10 Einschnitt eintretend, einen der Stäbe fortstofsen wird, so dafs dann wieder der folgende Stab dieselbe Lage wie der vorhergehende hát, und so ins Unendliche. Hat nun das Wagenrad 8 Umdrehungen gemacht, so wird das mit den Stäben versehene Rad eine ganze Umdrehung gemacht
15 haben. Mit diesem mit Stäben versehenen Rade sei eine Schraube ohne Ende fest verbunden, die von oben her senkrecht darauf befestigt sei und ihre andere Spitze in

*τυμπάνου ὀδόντας, δηλονότι τοῦ τυμπάνου ὀρθοῦ πρὸς
τὸν πυθμένα κειμένου. καὶ τοῦτο γινέσθω ἐφ' ὅσον
ἂν βουλώμεθα ἢ ὁ τόπος ὁ τοῦ κιβωταρίου χώραν
p 310 ἔχῃ· ὅσῳ γὰρ πλείονα γίνεται τά τε τύμπανα καὶ οἱ
κοχλίαι, τοσούτῳ καὶ ἡ ὁδὸς ἐπὶ πλεῖον μετρουμένη* 5
*εὑρεθήσεται. ἕκαστος γὰρ κοχλίας ἅπαξ στραφεὶς τοῦ
παρακειμένου αὐτῷ τυμπανίου ἕνα ὀδόντα κινήσει·
ὥστε τὸν μὲν συμφυῆ τῷ σκυταλωτῷ τυμπανίῳ ἅπαξ
στραφέντα, ὀκτὼ μὲν περιμέτρους τοῦ τροχοῦ σημαίνειν,
τοῦ δὲ παρακειμένου αὐτῷ τυμπανίου ἕνα ὀδόντα* 10
*κεκινηκέναι. εἰ τύχοι οὖν, τὸ παρακείμενον τύμπα-
νον, ἐὰν ὀδόντας ἔχῃ τριάκοντα, ἅπαξ στραφὲν ὑπὸ τοῦ
κοχλίου στροφὰς δηλώσει τοῦ τροχοῦ σμ. καὶ πάλιν
τοῦ εἰρημένου ὀδοντωτοῦ τυμπανίου ἅπαξ στραφέντος
ὁ μὲν συμφυὴς αὐτῷ κοχλίας ἅπαξ στραφήσεται, τοῦ* 15
*δὲ παρακειμένου τῷ κοχλίᾳ τυμπανίου εἷς ὀδοὺς κινη-
θήσεται. ἐὰν ἄρα καὶ τοῦτο τὸ τύμπανον ἔχῃ ὀδόντας
λ, ὅπερ εἶναι εἰκὸς καὶ πλείονας γίνεσθαι, ἅπαξ
στραφέντος αὐτοῦ, στροφαὶ τοῦ τροχοῦ δηλωθήσονται
͵Ϛσ· ἂν [δὲ] ἄρα ὁ τροχὸς ἔχῃ τὴν περίμετρον πηχῶν ι,* 20
*ἔσονται πήχεις $\overset{\zeta}{\mu}$͵β. ἔστιν στάδια ρπ. καὶ ταῦτα μὲν
ἐπὶ τοῦ β' τυμπανίου εὕρηται· πλειόνων δὲ ὄντων καὶ
τῶν ὀδόντων κατὰ τὸ πλῆθος αὐξομένων πολλοστὸ⟨ν⟩
τῆς ὁδοῦ μέγεθος ⟨εὑρεθ⟩ήσεται μετρούμενον. δεῖ δὲ
τοιαύτῃ χρήσασθαι κατασκευῇ, ὥστε μὴ πολλῷ πλείονα* 25
ὁδὸν δύνασθαι σημαίνειν τὸ ὄργανον ⟨ἢ⟩ τὴν ἐν μιᾷ

---

4 ἔχει   5 τοσοῦτο   8 σκυταλιω τω τυμπανιω   15—16 τοῦ δὲ τοῦ: sed alterum τοῦ del. m. 1   18 f. οὗσπερ ἔστιν εἰκὸς κτλ.   20 πσ: corr. Vi   [δὲ] delevi   21 *MB* εστιν σταδια   22 εἴρηται: correxi   23 αὐξομένων ποδος τὸ: correxi   24 ήσεται (sic): correxi   26 ⟨ἢ⟩ add. Vi

einem Querbalken, der in die Seitenwände des Gehäuses eingelassen ist. An die genannte Schraube ohne Ende sei ein Zahnrad angeschoben, dessen Zähne zur Windung der Schraube passen, das natürlich rechtwinklig zum Boden steht und gleichfalls eine fest damit verbundene Achse hat, deren Enden in den Wänden des Gehäuses endigen sollen. An dem einen Teile soll in diese Achse wieder ein Gewinde eingeschnitten sein, so dafs sie eine Schraube ohne Ende ist. An diese Schraube wiederum sei ein Zahnrad angeschoben, das natürlich dem Boden parallel liegen und eine fest mit ihm verbundene Achse haben soll; seine eine Spitze soll sich im Boden des Gehäuses, die andere in einem in den Wänden des Gehäuses befestigten ⟨......⟩ drehen. Auch diese Achse soll nun an ihrem einen Teile ein Schraubengewinde haben, das wieder zu den Zähnen eines anderen Zahnrades pafst, wobei natürlich das Zahnrad senkrecht zum Boden liegen soll. Und diese Konstruktion werde so oft als wir wünschen oder das Gehäuse Platz bietet, wiederholt. Denn je mehr Zahnräder und Schrauben angebracht werden, um so weiter sind die Strecken, die durch Messung gefunden werden können.

Jede Schraube nämlich wird bei einer Umdrehung einen Zahn des an sie angeschobenen Zahnrades in Bewegung setzen. Die mit dem mit Stäben versehenen Rad verbundene Schraube zeigt daher, wenn sie eine Umdrehung gemacht hat, 8 Wagenradumfänge an, hat aber von dem an sie angeschobenen Zahnrad erst einen Zahn bewegt. Beispielsweise nun wird dieses Zahnrad, wenn es dreifsig Zähne hat, nach einer Umdrehung vermittelst der Schraube 240 Wagenradumdrehungen anzeigen. Und wiederum wird, wenn das genannte Zahnrad sich einmal gedreht hat, auch die damit verbundene Schraube sich einmal drehen, von dem an die Schraube angeschobenen Zahnrad dagegen wird sich nur ein Zahn bewegen. Falls also auch dieses Zahnrad 30 Zähne hat (— natürlich können ihrer auch noch mehr daran angebracht werden —) so werden durch eine Umdrehung desselben 7200 Wagenradumdrehungen an-

ἡμέρᾳ δυναμένην ἐξανύεσθαι ὑπὸ τοῦ ὀχήματος· δυνατὸν γὰρ καθ' ἑκάστην ἡμέραν ἐκμετροῦντα τὴν τῆς ἡμέρας ὁδὸν εἰς τὴν ἑξῆς πάλιν ἀρχὴν ποιεῖσθαι τῆς ἑξῆς ὁδοῦ. ἀλλ' ἐπεὶ ἡ ἑκάστου κοχλίου στροφὴ οὐκ ἀκριβῶς οὐδὲ μεμετρημένως τοὺς παρακειμένους ὀδόν- 5 τας στρέφει, ἡμεῖς τῇ πείρᾳ ἐπιστρέφομεν τὸν πρῶτον κοχλίαν, ἕως οὗ τὸ παρακείμενον αὐτῷ ὀδοντωτὸν p. 312 τύμπανον μίαν ἀποκατάστασιν λάβῃ, μετροῦντες ὁσάκις fol. 78r αὐτὸς ἐπιστρέφεται. καί, εἰ τύχοι, εἰληφέτω | στροφὰς κ, ἐν ᾧ τὸ παρακείμενον αὐτῷ τύμπανον μίαν ἀπο- 10 κατάστασιν λαμβάνει· τοῦτο δὲ εἶχεν ὀδόντας λ· αἱ ἄρα κ στροφαὶ τοῦ σκυταλωτοῦ τυμπάνου λ ὀδόντας ἐκίνησαν τοῦ παρακειμένου τῷ κοχλίᾳ τυμπάνου· αἱ δὲ κ στροφαὶ σκυτάλια ἐπιστρέφουσιν ρξ· τοσαῦται δὲ καὶ τοῦ τροχοῦ εἰσὶ στροφαί· γίνονται ἄρα πήχεις ͵αχ. εἰ δὲ οἱ λ 15 ὀδόντες μηνύουσιν πήχεις ͵αχ, ὁ ἄρα α ὀδοὺς τοῦ εἰρημένου τυμπανίου σημαίνει τῆς ὁδοῦ πήχεις νγ γ´. ὅταν ἄρα ἀρξάμενον τὸ ὀδοντωτὸν κινεῖσθαι τύμπανον εὑρεθῇ κεκινημένον ὀδόντας ιε, σημαίνει ὁδὸν πηχῶν ω, τουτέστι στάδια δύο. ἐπιγράψομεν οὖν ἐν μέσῳ τῷ 20 εἰρημένῳ ὀδοντωτῷ τυμπάνῳ πήχεις νγ γ´· τὰ δὲ αὐτὰ ἐπιλογισάμενοι καὶ ἐπὶ τῶν λοιπῶν ὀδοντωτῶν τυμπανίων ἐπιγράψομεν τοὺς ἀριθμούς· ὥστε ἑκάστου αὐτῶν παραχθέντων τινῶν ὀδόντων ἐπιγνῶναι τὴν ἐξανυσθεῖσαν ὁδόν. ἵνα δὲ μή, ὅταν βουλώμεθα ἐπι- 25 σκέψασθαι τὸ μῆκος τῆς ὁδοῦ, ἀνοίγοντες τὸ κιβωτάριον ἐπισκοπῶμεν τοὺς ἑκάστου τυμπάνου ὀδόντας, δείξομεν ὡς δυνατὸν διὰ τῆς ἑκάστου κιβωταρίου

---

9 ἐπιτύχοι 11 λαμβάνει 12 ἐκείνης ἂν 17 $\overline{N\Gamma}$ E γε sed γε del. m. 1 18 τὸν οδοντωτὸν 20—21 τοῦ εἰρημένου 21 $\overline{N\Gamma}$ E 22 ἐπὶ τῶν λοιοδόντων

gezeigt werden. Hat also das Wagenrad einen Umfang
von 10 Ellen, so werden das 72000 Ellen, d. h. 180 Sta-
dien sein. Und dies ist bei dem zweiten Zahnrade ge-
funden; sind deren dagegen mehr und wächst die Anzahl
5 der Zähne, so wird ein vielmal so grofser Weg gemessen
werden. Man mufs dabei eine Konstruktion von der Art
anwenden, dafs der Apparat einen nicht viel gröfseren
Weg anzuzeigen imstande ist, als an einem Tage von
dem Wagen zurückgelegt werden kann. Denn man hat
10 ja die Möglichkeit, indem man täglich die zurückgelegte
Tageswegstrecke ausrechnet, am folgenden Tage mit der
folgenden Wegestrecke wieder von vorn anzufangen.

Aber da die Umdrehung einer jeden Schraube die an-
geschobenen Radzähne nicht mathematisch genau bewegt,
15 so drehen wir beim Ausprobieren die erste Schraube, bis
das daran geschobene Zahnrad eine vollständige Umdrehung
gemacht hat, und messen, wie vielmal die Schraube selbst
sich dreht. Beispielsweise mag sie 20 Umdrehungen ge-
macht haben in der Zeit, in der das angeschobene Zahn-
20 rad eine vollständige Umdrehung macht; dieses aber hatte
30 Zähne. Die 20 Umdrehungen also des mit den
speichenförmigen Stäben versehenen Rads setzten 30 Zähne
des an die Schraube angeschobenen Zahnrads in Bewegung.
Die 20 Umdrehungen drehen ferner 160 speichenförmige
25 Stäbe; ebenso grofs aber ist die Zahl der Wagenrad-
umdrehungen. Es sind also im ganzen 1600 Ellen. Wenn
aber die 30 Zähne 1600 Ellen anzeigen, so zeigt 1 Zahn
des genannten Zahnrads $53\frac{1}{3}$ Ellen des Weges an. Wenn
also das Zahnrad anfängt sich zu bewegen und man findet,
30 dafs es sich um 15 Zähne weiterbewegt hat, so zeigt das
einen Weg von 800 Ellen, d. h. 2 Stadien an. Wir werden
nun mitten auf das genannte Zahnrad die Aufschrift:
„$53\frac{1}{3}$ Ellen" setzen; dasselbe rechnen wir auch bei den
übrigen Zahnrädern aus und schreiben die Zahlen darauf,
35 so dafs wir, wenn von jedem eine Anzahl von Zähnen
fortbewegt worden ist, den zurückgelegten Weg kennen
werden.

ἐπιφανείας, γνωμονίων τινῶν περιαγομένων, εὑρίσκειν τὸ τῆς ὁδοῦ μῆκος. τὰ μὲν γὰρ εἰρημένα ὠδοντωμένα τυμπάνια κείσεται μὴ ψαύοντα τῶν πλευρῶν τοῦ κιβωταρίου, οἱ δὲ ἄξονες αὐτῶν εἰς τὸ ἐκτὸς μέρος ὑπερεχέτωσαν τῶν τοίχων· αἱ δ' ὑπεροχαὶ τετράγωνοι 5 *ἔστωσαν, ὡς ἂν προσειληφυῖαι μοιρογνωμόνια ἐν τετραγώνοις τρήμασιν· ὥστε στρεφομένου τοῦ τυμπάνου σὺν τῷ ἄξονι συστρέφεσθαι καὶ τὸ μοιρογνωμόνιον· οὗ δὴ περιαγόμενον τὸ ἄκρον κύκλον γράψει ἐν τῇ ἑτέρᾳ πλευρᾷ τοῦ αὐτοῦ τοίχου, ὃν διελοῦμεν* 10 *εἰς τὸ αὐτὸ πλῆθος τῶν ὀδόντων τοῦ ἐντὸς τυμπανίου.*
p. 314 *τὸ δὲ μοιρογνωμόνιον μεγέθει ἔστω τηλικοῦτο, ὥστε μείζονα γράφειν κύκλον, πρὸς τὸ τὴν διαίρεσιν τῶν ὀδόντων ἐν μείζοσι διαστήμασιν εἶναι· ἕξει δὲ ὁ γραφόμενος κύκλος τὴν αὐτὴν ἐπιγραφὴν τῷ ἐντὸς τυμ-* 15 *πάνῳ· καὶ οὕτως διὰ τῆς ἐκτὸς ἐπιφανείας ἐπιθεωρήσομεν τὸ μῆκος τῆς ἀνυσθείσης ὁδοῦ. ἐὰν δὲ μὴ ᾖ δυνατὸν πάντα τὰ τυμπάνια μὴ ψαύειν τῶν τοίχων τοῦ κιβωταρίου, διὰ τὸ ἐμποδίζεσθαι ὑπὸ ἀλλήλων, ἢ*
fol. 79r *διὰ τοὺς παρακειμένους κοχλίας, ἢ δι' | ἕτερόν τι,* 20 *ἀπο⟨σ⟩τήσομεν ἕκαστον αὐτῶν τοσοῦτον, ὥστε μηδὲν ἐμποδὼν εἶναι.*

Ἐπεὶ οὖν τῶν ὀδοντωτῶν τυμπάνων ἃ μὲν παράλληλα τῷ πυθμένι ἐστίν, ἃ δ' ὀρθά, καὶ τῶν γραφομένων ἄρα κύκλων ὑπὸ τῶν μοιρογνωμονίων οἳ μὲν 25 *ἐν τοῖς ὀρθοῖς τοίχοις ἔσονται τοῦ κιβωταρίου, οἳ δ' ἐν τῷ ἐπιπώματι. δεήσει ἄρα διὰ τοῦτο, ἕνα τῶν*

---

2 *ὀδοντωμένα* 4 *ἄξωνες* 6 *μυρογνωμονια* 7 *σχήμασιν*: correxi 8 *ἄξωνι* 9 *ὃ δὴ* *γράψοι* 12—13 *ὥστε μίαν γράφειν* 15 *τὸ ἔντος* 16—17 *ἐπιθεωρήσωμεν* 21 *ἀποτήσωμεν*: correxi 23 *ὀδόντων τῶν* 25 *μοιρογνωμονίων*: sed ι del. m. 1 26—27 *ὀδοντω ενι πωματι*: correxi

Damit wir aber nicht, wenn wir die Länge des Weges
bestimmen wollen, das Kästchen öffnen und die Zähne
jedes einzelnen Zahnrades untersuchen müssen, so werden
wir zeigen, wie es angängig ist dadurch, dafs auf der
5 Aufsenseite jedes Kästchens sich Zeiger im Kreise bewegen,
die Länge des zurückgelegten Weges zu finden. Die ge-
nannten Zahnräder werden nämlich so liegen, dafs sie die
Seiten des Kästchens nicht berühren; die Achsen derselben
jedoch sollen nach aufsen über die Wände hinausstehen;
10 ihre Vorsprünge sollen von quadratischem Querschnitt sein,
dergestalt dafs sie mit Zeigern mit quadratischen Durch-
bohrungen versehen werden. Wird daher das Zahnrad
gedreht, so dreht sich mit seiner Achse zugleich auch der
Zeiger, dessen Spitze bei ihrer Umdrehung auf der andern
15 Seite ebenderselben Wand einen Kreis beschreiben wird,
welchen wir in ebensoviele Geraden teilen werden, als die
Zähne des innen befindlichen Zahnrades betragen. Der
Zeiger soll übrigens so grofs sein, dafs er einen gröfseren
Kreis beschreibt, damit die Teilung der Zähne in gröfseren
20 Zwischenräumen erfolgt. Der Kreis, der so gezeichnet
wird, soll dieselbe Aufschrift tragen, wie das Zahnrad im
Inneren. Auf diese Weise werden wir durch eine an der
Aufsenseite befindliche Vorrichtung die Länge des zurück-
gelegten Weges kontrollieren. Ist es aber nicht möglich,
25 dafs alle Zahnräder die Wände des Kästchens nicht be-
rühren, entweder weil sie sich gegenseitig hindern würden
oder wegen der an sie angeschobenen Schrauben, oder aus
irgend einem andern Grunde, so werden wir jedes einzelne
von ihnen so weit abstellen, dafs kein Hindernis vorhanden
30 ist. Da nun von den Zahnrädern die einen dem Boden
parallel, die andern senkrecht dazu stehen, so werden
auch von den durch die Zeiger beschriebenen Kreisen
einige auf den senkrecht stehenden Wänden des Kästchens
liegen, und einige auf dem Deckel. Es wird also aus
35 diesem Grunde eine der senkrecht stehenden Wände, die
keine Kreise tragen, als Deckel eingerichtet werden müssen,
damit der anscheinende Deckel eine Wand sein kann.

ὀρθῶν τοίχων τῶν μὴ ἐχόντων τοὺς κύκλους πῶμα
γενέσθαι, ἵνα τὸ ὡσανεὶ πῶμα τοῖχος ᾖ.

fol. 79ʳ p. 320 λε. | Ὅσοι μὲν οὖν τόποι βαδίζεσθαι δύνανται, τού-
των τὰ μήκη ἢ διὰ τῆς κατασκευασθείσης διόπτρας ἢ
τοῦ ῥηθέντος ὁδομέτρου εὑρίσκεται· ἐπεὶ δὲ εὔχρηστον 5
ὑπάρχει καὶ τὴν μεταξὺ δύο κλιμάτων ὁδὸν ἡλίκη ἐστὶν
ἐπίστασθαι, ἐμπιπτόντων εἰς αὐτὴν νήσων τε καὶ πελα-
γῶν καί, εἰ τύχοι, ἀβάτων τινῶν τόπων, ἀναγκαῖόν ἐστι
καὶ πρὸς τοῦτο μέθοδόν τινα ὑπάρχειν, ὅπως παντελῶς
εἴη ἡμῖν ἡ ἐκδεδομένη πραγματεία. δέον δὲ ἔστω, εἰ 10
τύχοι, τὴν μεταξὺ Ἀλεξανδρείας καὶ Ῥώμης ὁδὸν ἐκμε-
τρῆσαι τὴν ἐπ' εὐθείας, τήν γε ἐπὶ κύκλου περιφερείας
μεγίστου τοῦ ἐν τῇ γῇ, προσομολογουμένου τοῦ ὅτι
περίμετρος τῆς γῆς σταδίων ἐστὶ $\overset{\kappa\varepsilon}{\mu}$ καὶ ἔτι ͵β, ὡς ὁ
μάλιστα τῶν ἄλλων ἀκριβέστερον πεπραγματευμένος 15
Ἐρατοσθένης δείκνυσιν ἐν ⟨τῷ⟩ ἐπιγραφομένῳ περὶ
τῆς ἀναμετρήσεως τῆς γῆς. τετηρήσθω οὖν ἔν τε Ἀλε-
ξανδρείᾳ καὶ Ῥώμῃ ⟨ἡ⟩ αὐτὴ ἔκλειψις τῆς σελήνης·
εἰ μὲν γὰρ ἐν ταῖς ἀναγραφείσαις εὑρίσκεται, ταύτῃ
χρησόμεθα· εἰ δὲ οὔ, δυνατὸν ἔσται ἡμᾶς αὐτοὺς | 20
fol. 79ᵛ p. 322 τηρήσαντας εἰπεῖν διὰ τὸ τὰς τῆς σελήνης ἐκλείψεις
διὰ πενταμήνων καὶ ἑξαμήνων γίνεσθαι. ἔστω οὖν
εὑρημένη ἐν τοῖς εἰρημένοις κλίμασιν αὕτη ⟨ἡ⟩ ἔκλειψις,
ἐν Ἀλεξανδρείᾳ μὲν νυκτὸς ὥρας ε, ἐν Ῥώμῃ δὲ ἡ
αὐτὴ νυκτὸς ὥρας γ, δηλονότι τῇ αὐτῇ νυκτί. ἔστω 25
δὲ καὶ ἡ νύξ, τουτέστιν ὁ ἡμερήσιος κύκλος, καθ' οὗ
φέρεται ὁ ἥλιος ἐν τῇ εἰρημένῃ νυκτί, ἀπέχων ἀπὸ
ἰσημερίας ἐαρινῆς, ὡς ἐπὶ τροπὰς χειμερινάς, ἡμέρας

---

4 τῷ μήκει 9 μέθον: corr. Vi; f. παντελὴς 10 δεδόσθω δὲ: correxi 12 γην τε την επὶ 13 τούτου ὅτι Vi 14 ἐστι

XXXV.[1]) Die Länge aller zu Fuſs zugänglichen Terrainstrecken wird entweder vermittelst der von uns konstruierten Dioptra oder vermittelst des genannten Wegemessers gefunden. Da es jedoch von Nutzen ist, auch
5 die Gröſse des Weges zwischen zwei geographischen Orten zu bestimmen, wenn Inseln und Meere und vielleicht unwegsame Terrainstrecken auf denselben fallen, so ist es nötig, daſs auch hierfür eine Methode da ist, damit der Gegenstand von uns vollständig behandelt sei. Die
10 Aufgabe sei beispielsweise, den Weg zwischen Alexandria und Rom auf gerader Linie oder genauer auf der Peripherie eines der gröſsten Kreise der Erde zu messen, wofür vorausgesetzt wird, daſs der Umfang der Erde 252 000 Stadien beträgt, wie der vor andern durch Ge-
15 nauigkeit auf diesem Gebiete ausgezeichnete Eratosthenes in der Schrift zeigt, die den Titel: „Über die Messung der Erde“ trägt.

Man beobachte nun in Alexandria und Rom dieselbe Mondfinsternis. (Findet sie sich in den Listen, so bedienen
20 wir uns ihrer; wo nicht, so ist es angängig, daſs wir sie selbst beobachten und die nötige Angabe machen, weil die Mondfinsternisse alle 5—6 Monate einzutreten pflegen.) Diese Finsternis sei in den bezeichneten Gegenden beobachtet in Alexandria nachts um die fünfte Stunde, in
25 Rom ebendieselbe nachts um die dritte Stunde, natürlich in derselben Nacht. Die Distanz der Nacht, d. h. die Distanz des Tageskreises, auf welchem sich die Sonne

1) Für dieses schwierige und stark verderbte Kapitel, zu dessen Verständnis noch vieles fehlt, konnte eine genügende Figur nicht gegeben werden; auch die Übersetzung bedarf besonderer Nachsicht.

με καὶ ἔτι B 16 supplevi 17 *τῆς γῆς ὅτε τηρήσθω*: correxi *ἐν τῇ*: correxi 18 *ῥώμμης αυτη* 23 *εὑρημένην* 23—24 *ἐκλειψίς τε ἐν* 24—25 *δὲ ἐν αυτης νυκτος ωρας τρεῖς* 26 *δὴ*

δέκα· καὶ καταγεγράφθω ἡμισφαίριον τὸ διὰ τῶν τροπικῶν, εἰ μὲν ἐν Ἀλεξανδρείᾳ ἐσμέν, πρὸς τὸ ἐν Ἀλεξανδρείᾳ, εἰ δὲ ἐν Ῥώμῃ, πρὸς τὸ ἐν Ῥώμῃ κλίμα. ἔστω δὴ ἡμᾶς εἶναι ἐν Ἀλεξανδρείᾳ· καὶ ἐγκείσθω κοῖλον ἡμισφαιρίόν τι[η] διὰ τῶν τροπικῶν καταγράφειν 5 πρὸς τὸ ἐν Ἀλεξανδρείᾳ κλίμα. καὶ ἔστω αὐτοῦ ὁ περὶ τὸ χεῖλος κύκλος ὁ ΑΒΓΔ· μεσημβρινὸς δὲ ἐν αὐτῷ ἔστω ὁ ΒΕΖΗ⟨Δ⟩· ἰσημερινὸς δὲ ὁ ΑΗΓ· πόλος δὲ τῶν παραλλήλων ὁ Ε· τοῦ δὲ περὶ τὸ χεῖλος τοῦ ἡμισφαιρίου πόλος ὁ Ζ. καὶ ἐντετάχθω ὁμοταγὴς 10 τῷ κύκλῳ τῷ καθ' ὃν φέρεται ἐν τῇ εἰρημένῃ νυκτὶ ὁ ἥλιος ὥρας πέμπτης, τότε μὲν ἀπέχων ἀπὸ ἰσημερίας ἐαρινῆς καὶ ἐπὶ τροπὰς χειμερινὰς ἡμέρας ι, καὶ ἔστω ὁ ΘΚΛ· καὶ διῃρήσθω ἡ ΘΚΔ περιφέρεια εἰς τὰς ιβ· καὶ ἔστω τούτων ἡ πέμπτη ἡ ΘΜ, ἐπειδήπερ πέμ- 15 πτης ὥρας ἡ ἔκλειψις ἐτηρήθη ἐν Ἀλεξανδρείᾳ· ἔσται ἄρα τὸ Μ ὁμοταγὲς τῷ πρὸς ὃ ἦν ὁ ἥλιος τῆς ἐκλείψεως γενομένης. καὶ γεγράφθω δὲ καὶ τὸ διὰ Ῥώμης ἀνάλημμα, ἐν ᾧ ἐγγεγράφθω καὶ ὁ ἡμερήσιος κύκλος ὁ ὁμοταγὴς τῷ ΘΚΛ. καὶ ὁρίζοντος μὲν διάμετρος ἡ 20 ΝΞ· γνώμων ⟨δὲ⟩ ὁ ΟΠ· ἡ δὲ τοῦ ἡμερησίου διάμετρος ἡ ΡΣ· δίορον δὲ ἡ ΤΥ. καὶ οἵων ἐστὶν ἡ p. 324 ΥΦΣ περιφέρεια ἡμερησίων ὡρῶν ϛ, τοιούτων ὡρῶν ἡ ΥΦ γ, ἐπειδήπερ ἡ τήρησις ἐν Ῥώμῃ γεγένηται ὥρας γ καὶ τῇ ΥΦ περιφερείᾳ ὁμοία κείσθω ἡ ΜΧ. 25 τὸ ἄρα Χ σημεῖον πρὸς τῷ ὁρίζοντι τῷ διὰ Ῥώμης. ἔστω δὲ καὶ ἄξων ἐν τῷ ἀναλήμματι ὁ ΨΩ, καὶ τῇ ΥΦΣ περιφερείᾳ ὁμοία κείσθω ἡ ΧΚϛ· ἔσται δὴ τὸ

---

4 δὲ 5 κοινὸν τι η δς τῶν 10 πολος ὁ $\overline{OZ}$ (sic) ὁμοταγεὶς 11 καθω 12 τὸ μὲν ἀπέχειν 14 διειρησθω 15 τοιοῦτον ἡ ΕΗ$\overline{\Theta}\overline{M}$: correxi 17 πρὸς ο μη ἥλιος 20 καὶ ο

während dieser Nacht befindet, von der Frühlingstaggleiche betrage nach der Wintersonnenwende hin 10 Tage. Nun zeichne man eine durch die Wendekreise gehende Halbkugel, wenn wir in Alexandria sind, nach dem Ort von
5 Alexandria, wenn wir in Rom sind, nach dem Ort von Rom.

Es werde der Fall genommen, daſs wir in Alexandria sind, und die Aufgabe sei, eine konkave Halbkugel durch die Wendekreise nach dem Ort von Alexandria zu zeichnen. Der begrenzende Kreis sei $AB\Gamma\Delta$, der Meridian $BEZH$,
10 der Äquator $AH\Gamma$, der Pol der Parallelkreise sei E, der Pol des die Halbkugel begrenzenden Kreises Z. Nun werde die Stelle bezeichnet, welche die Sonne um die fünfte Stunde einnimmt auf dem Kreise, auf welchem sie sich in dieser Nacht bewegt: wobei sie sich 10 Tage von
15 der Frühjahrsnachtgleiche nach der Wintersonnenwende zu entfernt befindet. Dieser Kreis sei $\Theta K\Lambda$, sein Umfang werde in 12 Teile zerlegt, und von diesen sei der fünfte ΘM, da um die fünfte Stunde die Finsternis in Alexandria beobachtet wurde. Also wird M der Punkt sein, der
20 demjenigen entspricht, an dem sich die Sonne bei Eintritt der Finsternis befand.

Es werde nun auch das Analemma von Rom gezeichnet, in welches auch der Tageskreis eingetragen werden soll, welcher $\Theta K\Lambda$ entspricht. Der Durchmesser des Horizontes
25 sei $N\Xi$, der Gnomon $O\Pi$, der Durchmesser des Tageskreises $P\Sigma$, die Scheidelinie von Tag und Nacht $T\Upsilon$. Nun ist $T\Phi$ = 3 Tagesstunden derselben Art, deren 6 auf den Peripherieabschnitt $\Upsilon\Phi\Sigma$ kommen, da die Beobachtung in Rom um die dritte Stunde erfolgt ist. Nun
30 werde MX der Peripherie $\Upsilon\Phi$ ähnlich angenommen; der Punkt X wird also auf dem Horizont von Rom liegen. Es sei aber auch $\Psi\Omega$ eine Achse in dem Analemma und $X\varsigma$ werde der Peripherie $\Upsilon\Phi\Sigma$ ähnlich angesetzt. Da

---

οριζοντος 21 *γνωμ ο* $\Theta\Pi$ *ἡ δὲ ἡ*: sed alterum *ἡ* del. m. 1 22—23 *περιφερεια τη Ηω ς τοιουτων ωη* 25—26 *ἡ* $\overline{MX\Gamma}$ *ο ἄρα* $\overline{X}$ 27 *καὶ ἡ*

ϛ ἐπὶ τοῦ μεσημβρινοῦ τοῦ διὰ Ῥώμης· ἀλλὰ καὶ τὸ
Ε πόλος τῶν παραλλήλων· γεγράφθω διὰ τῶν Ε, ϛ
μέγιστος κύκλος ὁ Εϛ· τοῦτο δὴ ἔσται ὁ εἰρημένος
διὰ Ῥώμης μεσημβρινός. καὶ τῇ ΞΩ περιφερείᾳ ὁμοία
κείσθω ἡ ⟨͵Α͵Β,⟩ ἀπὸ δὲ τοῦ ϛ͵Α τετραγώνου κείσθω 5
ἡ͵Α͵ΒΖ· τὸ ἄρα ͵Β σημεῖον ἔσται τοῦ διὰ Ῥώμης
ὁρίζοντος πόλος, ἀλλὰ καὶ τὸ Ζ τοῦ δι' Ἀλεξανδρείας.
γεγράφθω οὖν διὰ τῶν ͵Β, Ζ, μεγίστου κύκλου περι-
φέρεια ἡ ͵ΒΖ, καὶ ἐξητάσθω πόσων γίνεται μοιρῶν
πρὸς τὸν ΑΒΓΔ κύκλον· εὑρήσθω, εἰ τύχοι, μοιρῶν 10
fol. 80ʳ | κ. ἔσται οὖν ἡ ἀπολαμβανομένη ἐν τῇ γῇ μεταξὺ
Ῥώμης καὶ Ἀλεξανδρείας μοιρῶν κ, οἵων ἐσ⟨τὶν⟩ καὶ ὁ
μέγας κύκλος μοιρῶν τξ. ἔχει δὲ ἡ μία μοῖρα τῶν ἐν τῇ
γῇ σταδίους ψ, εἴ γε ὅλη ⟨ἡ⟩ περίμετρός ἐστι $\overset{\kappa\varepsilon}{\mu}$ καὶ ͵β.
αἱ ἄρα κ μοῖραι γίνονται εἰς $\overset{\alpha}{\mu}$ ͵δ. τοσούτους δὴ στα- 15
δίους ἀποφανούμεθα καὶ τὸ τῆς εἰρημένης ὁδοῦ μῆκος.
ἐὰν δὲ τὸ ͵Α σημεῖον ὑπερπίπτῃ τοῦ ⟨. . . . .⟩
τῆς ὑπερπιπτούσης περιφερείας ἣν θήσομεν τὴν Γ,
καὶ ἔσται τὸ Β τε διάμετρον τῷ ὑπερπίπτοντι σημείῳ.
πάλιν οὖν τετραγώνου θέντες τὴν ΣΒ ἕξομεν τὸ Β 20
σημεῖον.

p. 330 λξ. Τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι
διὰ τυμπάνων ὀδοντωτῶν παραθέσεως. κατεσκευάσθω
πῆγμα καθάπερ γλωσσόκομον· εἰς τοὺς μακροὺς καὶ
παραλλήλους τοίχους διακείσθωσαν ἄξονες παράλληλοι 25
ἑαυτοῖς, ἐν διαστήμασι κείμενοι ὥστε τὰ συμφυῆ αὐτοῖς

1—2 τὸ Ε πόλος Γ τῶν   2 γεγράφθω δὴ τῶν Βϛ   3 κυκλος ο ΤΕϛ   5 ΘΣ, ἀπο δὲ τοῦ ΣΑ   5—6 κείσθω ἡ ΑΒ τυ   8 τῶν $\overline{\text{ΒΖ}}$ 9 ἡ $\overline{\text{ΒΖ}}$ 11 ἔσται οὖν folio lacerato paene evanida   12 οιωνες καὶ: correxi   14 add. Vi $\overline{\text{ΚΕ}}$ καὶ $\overline{\text{Β}}$

nun ϛ auf dem durch Rom gehenden Meridian liegt, *E*
aber der Pol der Parallelkreise ist, so werde durch die
Punkte *E*, ϛ ein gröſster Kreis *E*ϛ konstruiert. Dies wird
der genannte Meridian durch Rom sein. Nun werde
5 *͵A͵B* der Peripherie *ΞΩ* ähnlich gemacht, und auf ϛ*͵A*
das Viereck *H͵A͵BZ* errichtet. Folglich wird der Punkt *͵B*
der Pol des Horizonts von Rom sein, *Z* derjenige des
Horizonts von Alexandria. Nun werde durch *͵B* und *Z*
die Peripherie eines gröſsten Kreises, *͵BZ*, gelegt und
10 darauf geprüft, wie viel Teile sie im Verhältnis zu dem
Kreise *ΑΒΓΔ* enthält. Nehmen wir an, sie werde auf
20 Teile bestimmt. Es wird also die auf der Erde
zwischen Rom und Alexandria liegende Strecke 20 solcher
Teile betragen, von denen der gröſste Kreis 360 enthält.
15 Ein solcher Teil auf der Erde beträgt nun 700 Stadien,
sofern der Gesamtumfang 252 000 Stadien beträgt. Die
20 Teile belaufen sich daher auf 14 000. Auf soviel
Stadien werden wir daher die Länge der angegebenen
Strecke angeben. ⟨. . . . . .⟩

20 XXXVII. Mit einer gegebenen Kraft eine gegebene
Last vermittelst Nebeneinanderstellung von Zahnrädern in
Bewegung zu setzen.

Es werde ein Gehäuse in Form eines Kastens angefertigt. In seine parallelen Langseiten sollen querliegende
25 Achsen eingelassen sein, die einander parallel in Abständen
dergestalt liegen, daſs die mit ihnen verbundenen Zahnräder nebeneinander liegen und ineinander greifen, so
wie wir angeben werden. Der genannte Kasten sei *ΑΒΓΔ*,
in dem die Achse *EZ* wie angegeben quer liegen und sich
30 leicht drehen soll. Mit diesem sei das Zahnrad *HΘ* fest

---

15 $\overset{\alpha}{\mu}$ οδιους ουτους δή: correxi 16 ἀποφαινούμεθα 17 τὸ $\overline{A}$ σημεῖον 19 τὸ $\overline{B}$ τε διάμετρον 20 τὴν ΣΒ 22 cf. Mechanica I 1 p. 2 Nix; ibid. p. 257 Schmidt; Pappus p. 1060 Hultsch 23 παραθέσεων: corr. Schmidt κατασκευάσθω 24 f. ⟨οὗ⟩ εἰς

ὀδοντωτὰ τύμπανα παρακεῖσθαι καὶ συμπεπλέχθαι ἀλλήλοις, καθὰ μέλλομεν δηλοῦν. ἔστω τὸ εἰρημένον γλωσσόκομον τὸ ΑΒΓΔ, ἐν ᾧ ἄξων ἔστω διακείμενος, ὡς εἴρηται, καὶ δυνάμενος εὐλύτως στρέφεσθαι, ὁ ΕΖ. τούτῳ δὲ συμφυὲς ἔστω τύμπανον ὠδοντωμένον τὸ 5 *ΗΘ ἔχον τὴν διάμετρον, εἰ τύχοι, πενταπλασίονα ⟨τῆς⟩ τοῦ ΕΖ ἄξονος διαμέτρου. καὶ ἵνα ἐπὶ παραδείγματος τὴν κατασκευὴν ποιησώμεθα, ἔστω τὸ μὲν ἀγόμενον βάρος ταλάντων χιλίων, ἡ δὲ κινοῦσα δύναμις ἔστω ταλάντων ε, τουτέστιν ὁ κινῶν ἄνθρωπος ἢ* 10 *παιδάριον, ὥστε δύνασθαι καθ᾿ ἑαυτὸν ἄνευ μηχανῆς ἕλκειν τάλαντα ε. οὐκοῦν ἐὰν τὰ ἐκ τοῦ φορτίου ἐκδεδεμένα ὅπλα διά τινος ⟨ὀπῆς οὔσης⟩ ἐν τῷ ΑΒ τοίχῳ ἐπειληθῇ περὶ τὸν ΕΖ ἄξονα ⟨.....⟩ κατειλούμενα τὰ* fol. 80ᵛ *ἐκ τοῦ φορτίου ὅπλα | κινήσει τὸ βάρος· ἵνα δὲ κινηθῇ* 15 *τὸ ΗΘ τύμπανον, ⟨δεῖ δυνά⟩μει ὑπάρχειν πλέον ταλάν-* p. 332 *των διακοσίων, διὰ τὸ τὴν διάμετρον τοῦ τυμπάνου τῆς διαμέτρου τοῦ ἄξονος, ὡς ὑπεθέμεθα, πενταπλῆν ⟨εἶναι⟩· ταῦτα γὰρ ἀπεδείχθη ἐν ταῖς τῶν ε δυνάμεων ἀποδείξεσιν. ἀλλ᾿ ⟨.....⟩ ἔχομεν τί τὴν δύναμιν ταλάν-* 20 *των διακοσίων, ἀλλὰ πέντε. γεγονέτω οὖν ἕτερος ἄξων ⟨παβάλληλος⟩ διακείμενος τῷ ΕΖ, ὁ ΚΛ, ἔχων συμφυὲς τύμπανον ὠδοντωμένον τὸ ΜΝ. ὀδοντῶδες δὲ καὶ τὸ*

5 *τοῦτο* *ὀδοντωμένον* 7 suppl. Vi 8 *ποιησομεθα* 11 *ὥστε δύνασθαι*: *δυνάσθω* Pappus 12 *εικειν* corr. Vi 13 *ἐνδεδεμένα*: correxi ⟨*ὀπῆς*⟩ add. Hultsch ad Pappum p. 1062, 13 14 *ἐπιληθη* *τὸ ΕΖ ἄξωνα* hiatu haec fere hausta: ⟨*ἐπιστρεφομένου τοῦ ΗΘ τυμπάνου*⟩ 14—15 *τὰ ἐκ τοῦ φορτίου επλακων* | *εν τισι το βάρος*: correxi; *ἐφεῖλκεν ἄν τι* Vi 16 *τὸ ΠΘ τυμπανον* ⟨.......⟩ | *μει ὑπάρχειν* septem litteris madore absumptis; supplevi dubitanter 18 *ἄξωνος* 20 post *ἀλλ* hoc signum ⸖ et spatium 22 litterarum; f. *ἀλλ᾿* ⟨*οὐκ*⟩ *ἔχομεν* [*τι*] *τὴν* 21 *γεγονέτω ὁ ἕτερος*: correxi (ϙ = *οὖν*) 22 supplevi *ἔχον συμφυῆ* 23 *ὀδοντωμενον*

verbunden, dessen Durchmesser beispielsweise gleich 5 Achsendurchmessern sei. Und um die Konstruktion an einem Beispiel zu veranschaulichen, so sei die Last = 1000 Talenten, die bewegende Kraft sei = 5 Talenten, d. h. der
5 die Bewegung ausführende Mensch oder Sklave sei so stark, daſs er für sich ohne Maschine 5 Talente zu bewegen vermag. Wenn nun die an die Last festgebundenen Seile durch eine Öffnung in der Wand AB geleitet und um die Achse EZ gewickelt werden, so werden, <wenn sich das
10 Rad $H\Theta$ dreht,> die an der Last befestigten Seile beim Aufwickeln die Last bewegen. Damit nun aber das Zahn-




Fig. 115.

rad $H\Theta$ bewegt wird, muſs an Kraft mehr als 200 Talente vorhanden sein, weil der Durchmesser des Zahnrades, wie wir voraussetzten, gleich 5 Achsendurchmessern ist. Der
15 Beweis hierfür ward unter den Beweisen der 5 Kräfte geliefert. Da wir nun aber keine Kraft von 200 Talenten, sondern nur eine von 5 Talenten haben, so werde parallel zu EZ und querliegend noch eine andere Achse, $K\Lambda$ angebracht, mit der das Zahnrad MN fest verbunden sei.
20 Aber auch das Rad $H\Theta$ ist mit Zähnen versehen, so daſs es in die Auszahnungen des Rades MN eingreift. Mit ebenderselben Achse $K\Lambda$ sei auch noch das Zahnrad ΞO

ΗΘ τύμπανον, ὥστε ἐναρμόζειν ταῖς ὀδοντώσεσι τοῦ ΜΝ τυμπάνου. τῷ δὲ αὐτῷ ἄξονι τῷ ΚΛ συμφυὲς τύμπανον τὸ Ξ⟨Ο⟩, ἔχον ὁμοίως τὴν διάμετρον πενταπλασίονα τῆς τοῦ ΜΝ τυμπάνου διαμέτρου. διὰ δὴ τοῦτο δεήσει τὸν βουλόμενον κινεῖν διὰ τοῦ ΞΟ τυμ- 5 πάνου τὸ βάρος ἔχειν δύναμιν ταλάντων μ, ἐπειδήπερ τῶν σ ταλάντων τὸ πέμπτον ἐστὶ τάλαντα μ. πάλιν οὖν παρακείσθω ⟨τῷ ΞΟ τυμπάνῳ ὠδοντωμένῳ⟩ τύμπανον ὀδοντωθὲν ἕτερον ⟨τὸ ΠΡ, καὶ ἔστω τῷ⟩ τυμ- πάνῳ ὠδοντωμένῳ τῷ ΠΡ συμφυὲς ἕτερον συμφυὲς 10 ἔχον ὁμοίως πενταπλῆν τὴν διάμετρον τῆς ΠΡ τυμ- πάνου διαμέτρου· ἡ δὲ ἀ⟨νάλογος ἔσται δύναμις⟩ τοῦ ΣΤ τυμπάνου ἡ ἔχουσα τὸ βάρος ταλάντων η· ἀλλ' ἡ ὑπάρχουσα ἡμῖν δύναμις δέδοται ταλάντων ε. ὁμοίως ἕτερον παρακείσθω τύμπανον ὠδοντωμένον τὸ ΥΦ τῷ 15 ΣΤ ὀδοντωθέντι· τοῦδε τοῦ ΥΦ τυμπάνου ⟨τῷ⟩ ἄξονι συμφυὲς ἔστω τύμπανον τὸ ΧΨ ὠδοντωμένον, οὗ ἡ διάμετρος πρὸς τὴν τοῦ ΥΦ τυμπάνου διάμετρον λόγον ἐχέτω, ὃν τὰ ὀκτὼ τάλαντα πρὸς τὰ τῆς δοθείσης δυνάμεως τάλαντα ε. καὶ τούτων κατασκευασθέντων, 20 ἐὰν ἐπινοήσωμεν τὸ ΑΒΓΔ ⟨γλωσσόκομον⟩ μετέωρον κείμενον, καὶ ἐκ μὲν τοῦ ΕΖ ἄξονος τὸ βάρος ἐξάψωμεν, ἐκ δὲ τοῦ ΧΨ τυμπάνου τὴν ἕλκουσαν δύναμιν, οὐδο- p. 334 πότερον αὐτῶν κατενεχθήσεται, εὐλύτως στρεφομένων τῶν ἀξόνων, καὶ τῆς τῶν τυμπάνων παραθέσεως καλῶς 25 ἁρμο⟨ζού⟩σης, ἀλλ' ὥσπερ ζυγοῦ τινὸς ἰσορροπήσει ἡ δύναμις τῷ βάρει. ἐὰν δὲ ἑνὶ αὐτῶν προσθῶμεν ὀλίγον ἕτερον βάρος, καταρρέψει καὶ ἐνεχθήσεται ἐφ' ὃ προσετέθη βάρος, ὥστε ἐὰν ἓν τῶν ε ταλάντων

7—8 *πάλιοῦν* 10—11 *ὀδοντωμένον τὸ ΠΡ συμφυη ἕτερον συμφυὲς ἔχον* 12 *ἡ δε α*ــ in fine versus; in versu sequenti

fest verbunden, dessen Durchmesser gleichfalls 5 mal so grofs sein soll als der Durchmesser des Zahnrades *MN*. Man wird daher, wenn man die Last vermittelst des Zahnrades *ΞO* bewegen will, eine Kraft von 40 Talenten haben müssen, da ein Fünftel von 200 Talenten gleich 40 Talenten ist. Neben dem Zahnrad *ΞO* liege nun wiederum ein anderes Zahnrad *ΠP*, und mit dem Zahnrade *ΠP* sei ein anderes *ΣT* fest verbunden, dessen Durchmesser gleichfalls 5 mal so grofs als der Durchmesser des Zahnrades *ΠP* sein soll. Die entsprechende Kraft für das Zahnrad *ΣT* wird = 8 Talenten sein; aber die uns zur Verfügung stehende Kraft ist zu 5 Talenten gegeben.

Ebenso liege neben dem Zahnrade *ΣT* ein anderes *ΥΦ*; mit der Achse von *Υ* sei das Zahnrad *XΨ* fest verbunden, dessen Durchmesser zu dem Durchmesser des Zahnrades *ΥΦ* in demselben Verhältnis stehen soll, wie die 8 Talente zu den 5 Talenten der gegebenen Kraft.

Denken wir uns bei dieser Konstruktion den Kasten *ΑΒΓΔ* hoch aufgestellt und binden an die Achse *EZ* das Gewicht an, an das Zahnrad *XΨ* dagegen die ziehende Kraft, so wird keins von diesen beiden zur Erde niedergehen, wenn sich auch die Achsen leicht drehen und die nebeneinander gestellten Zahnräder gut ineinander greifen, sondern es wird wie bei einer Wage die Kraft mit der Last im Gleichgewichte sein. Wenn wir aber zu einem von beiden noch eine geringe andere Last zusetzen, so wird diejenige Seite niederziehen und hinuntersinken, zu der eine Last zugesetzt ward. Daher wird, wenn zu einem der 5 Talente, die als Kraft vorhanden sind, beispielsweise noch das Gewicht einer Mine zugesetzt wird,

---

spatium 14 litterarum   12—13 τοῦ *ET*   15—16 ὀδοντωθεντος οἱ δε τοῦ *ΤΦ* τὸ *ΣΤ* ὀδοντωθὲν δὲ τοῦ *ΤΦ*   16 ἀξωνι   17 τοῦ *XΨ* οδοντωμενον   19 πρόστε   22 *EΞ* ἀξωνος ἐξάψομεν   23 ἐκ δὲ τῶ *XΠ*   23—24 οὐδ' ὁ πρότερον   25 αξωνων   25—26 παραθέσεως καλῶς αρμόσεις: correxi   26—27 ισορροπους ειη δυναμεως: corr. Vi   28 καταρέψει   29 προσετιθη   ἓν: f. ἕν⟨ι⟩

δυνάμει ⟨. . . . . . .⟩ εἰ τύχοι μ⟨ν⟩αϊαῖον προστεθῇ βάρος, κατακρατήσει καὶ ἐπισπάσεται τὸ βάρος. ἀντὶ τῆς fol. 82r *προσθέσεως τούτῳ δὲ παρακείσθω | κοχλίας ἔχων τὴν ἕλικα ἁρμοστὴν τοῖς ὀδοῦσι τοῦ τυμπάνου, στρεφόμενος εὐλύτως περὶ τόρμους ἐνόντας ἐν τρήμασι στρογγύλοις,* 5 *ὧν ὁ μὲν ἕτερος ὑπερεχέτω εἰς τὸ ἐκτὸς μέρος τοῦ γλωσσοκόμου κατὰ τὸν ΓΔ ⟨τοῖχον τὸν παρακείμενον⟩ τῷ κοχλίᾳ· ἡ ἄρα ὑπεροχὴ τετραγωνισθεῖσα λαβέτω χειρολάβην τὴν ϙϛ, δι᾽ ἧς ἐπιλαμβανόμενός τις καὶ ἐπιστρέφων ἐπιστρέψει τὸν κοχλίαν καὶ τὸ ΧΨ* 10 *τύμπανον, ὥστε καὶ τὸ ΤΦ συμφυὲς αὐτῷ. διὰ δὲ τοῦτο καὶ τὸ παρακείμενον τὸ ΣΤ ἐπιστραφήσεται, καὶ τὸ συμφυὲς αὐτῷ τὸ ΠΡ, καὶ τὸ τούτῳ παρακείμενον τὸ ΞΟ, καὶ τὸ τούτῳ συμφυὲς τὸ ΜΝ, καὶ τὸ τούτῳ παρακείμενον τὸ ΗΘ, ὥστε καὶ ὁ τούτῳ* 15 *συμφυὴς ἄξων ὁ ΕΖ, περὶ ὃν ἐπειλούμενα τὰ ἐκ τοῦ φορτίου ὅπλα κινήσει τὸ βάρος. ὅτι γὰρ κινήσει, πρόδηλον ἐκ τοῦ προστεθῆναι ἑτέρᾳ δυνάμει ⟨τὴν⟩ τῆς χειρολάβης, ἥτις περιγράφει κύκλον τῆς τοῦ κοχλίου περιμέτρου μείζονα· ἀπεδείχθη γὰρ ὅτι οἱ μείζονες* 20 *κύκλοι τῶν ἐλασσόνων κατακρατοῦσιν, ὅταν περὶ τὸ αὐτὸ κέντρον κυλίωνται.*

p. 316 *λξ. Ἔστω κοχλίας ἐπί τινων στηματίων κινούμενος ὁ ΑΒ, ᾧ συμφυὲς ἔστω τύμπανον τὸ Δ ὀδόντων ⟨πα⟩. τούτῳ δὲ συμφυὲς ἔστω ⟨τύμπανον τὸ Ε⟩ ὀδόντων* 25 *⟨ϑ⟩. καὶ τούτῳ παράλληλον ἔστω τὸ Ζ ὀδόντων ρ·*

---

1 post *δυνάμει* spatium 7 litterarum *μ⟨. . .⟩αιαιον*: correxi 2 *κατακρατηση* 3 *κοχλίας τῶ ΧΨ τυμπανω εχων* 4 *ἥλικα* 5 *ἔντας*: correxi 6 *ὃν ὁ* *τὸ εντὸς*: corr: Vi 7 *κατὰ τὴν* 8 *κοχλιη*: correxi; *ὁ ἄρα τόρμος τετραγωνισθεὶς ἐλεύσεται εἰς χειρολαβὴν τὴν ϙϛ* Vi 8—9 *τετραγωνεῖσθαι αλασσεται*

so wird dieses die (zu bewegende) Last überwältigen und in Zug bringen.

Anstatt eines solchen Zusatzes werde an dieses Zahnrad eine Schnecke angeschoben, deren Windungen zu den 5 Zähnen des Zahnrades passen sollen und das sich in runden Löchern um Zapfen drehen soll, von welchen der eine an der Wand $\Gamma\Delta$, die zu der Schnecke rechtwinklig steht, noch aus dem Kasten herausragen soll. Der vorspringende Teil, welcher quadratischen Querschnitt hat, 10 geht in die Handhabe ϟς über. Setzt man diese an und dreht sie, so dreht man vermittels derselben die Schnecke und das Zahnrad $X\Psi$, daher auch $\Upsilon\Phi$, das mit diesem fest verbunden ist. Aus diesem Grunde wird sich auch das an dieses angeschobene Rad ΣT drehen und das hier- 15 mit festverbundene ΠP, und das an dieses angeschobene ΞO und das damit fest verbundene MN und das daran angeschobene $H\Theta$, daher auch die mit diesem festverbundene Achse EZ, um die sich die an der Last befestigten Seile aufrollen und somit die Last bewegen werden. Denn dafs 20 sie sie bewegen werden, ist daraus klar, dafs zu der einen der beiden Kräfte die der Handhabe zugesetzt worden ist, welche einen Kreis beschreibt, der gröfser ist als die Umfangslinie der Schnecke. Es ist nämlich (früher) der Nachweis geliefert worden, dafs die gröfseren Kreise stärker 25 sind als die kleineren, wenn sie sich mit diesen um denselben Mittelpunkt drehen.

XXXV. Es bewege sich in Pfostenlagern die Schraube AB, mit der das Zahnrad Δ mit 81 Zähnen verbunden sein soll. Mit diesem sei das Zahnrad E mit 9 Zähnen 30 verbunden. Diesem sei das Rad Z mit 100 Zähnen

---

χειρολαβην τὴν $K\Delta$ 11 τη $\Upsilon\Phi$ 12 f. τούτου 14 τὸ MH 14—15 τὸ τουτο παρακείμενον καὶ τὸ τοῦτο τὸ MH 16 ε $E\overline{Z}$ (sic): correxi ἐπελαυνόμενα 19 ἥτης περιγραφη 21 cf. Schmidt ad Heronis Aut. p. 400, 3 23 κοχλιαι 23—24 κινούμενοι δ 24 ως συμφυες | ἔστω: correxi οδοντω, tum spatium 4 litterarum, tum τουτο 26 καὶ τοῦτο παράλληλοι

συμφυὲς δὲ ἔστω αὐτῷ τὸ Η, ὀδόντων ιη. παρακείσθω
fol. 82v δὲ τὸ Θ ὀδόντων οβ. | ὁμοίως δὲ συμφυὲς ἔστω αὐτῷ
τὸ Κ ὀδόντων ιη. ὁμοίως δὲ τὸ Λ ὀδόντων ρ· πρὸς
ᾧ ἕτερον ὁμοίως ὀδόντων λ, ἀφ' οὗ μοιρογνωμόνιον
ἔστω [τὸ] δηλοῦν τὸ πλῆθος τῶν σταδίων. κατεσκευάσθω 5
δὲ τροχὸς πτερωτὸς ὁ Μ, τὴν περίμετρον ἔχων τὴν
ὑπὸ τῶν πτερῶν ⟨...⟩ πάσ⟨σ⟩ων, τετορνευμένος, ἰσοχρό-
νιος ὢν τῇ νηΐ. ⟨...⟩ σὺν τῷδε καὶ τοῦ αὐτοῦ ἐκφυρο-
μένῳ, ἄξονι τούτῳ τῷ τροχῷ προσειλήφθω ὀδοῦ·
ἐὰν δυνάμενος ἐν μιᾷ ἀποκαταστάσει τοῦ Μ ἕνα 10
ὀδόντα τοῦ Δ πίπτειν. δῆλον οὖν ὅτι τῆς νεὼς ρ
μίλια πορευθείσης τὸ Λ τύμπανον μίαν ἀποκατάστασιν
ἕξει· ὥστε ἐὰν μὲν εν τις κύκλος περὶ τὸ κέντρον τοῦ
Λ διαιρεθῇ εἰς ρ, τὸ μοιρογνωμόνιον τὸ συμφυὲς τῷ
Λ, φερόμενον ἐπὶ τοῦ εἰρημένου κύκλου, δηλώσει τὸ 15
καθ' ἕκαστον κίνημα τῆς κινήσεως.

---

1 αὐτὸ 2 αὐτο 3—4 οδοντων ξ προς ω 5 κατασκευάσθω 6 post πτερων spatium 3 litterarum 8 συντω δε 8—9 εκφυρομενω ἄξωνι τούτω τω τροχω 9 οδȣ i. e. ὀδοῦ? haec non extricavi 10 δυναμενος 11 οδοντα τοῦ Λ 13 μὲν εν τις κυκλος: exspectamus γραφεὶς 14—15 τοῦ Λ: corr. Vi 16 scribendum τῆς νεώς; de hoc genere corruptelarum disp. Brinkmannus Mus. Rhen. LVI 72.

parallel, mit ihm fest verbunden sei H mit 18 Zähnen. Daran sei Θ angeschoben mit 72 Zähnen; mit ihm soll in gleicher Weise K verbunden sein mit 18 Zähnen. Ebenso Λ mit 100 Zähnen, [woran in gleicher Weise noch ein anderes mit 30 Zähnen]. An diesem soll ein Zeiger angebracht sein, der die Zahl der Stadien angiebt. Es werde ferner ein Flügelrad M hergestellt, dessen von den




Fig. 116.

Flügeln begrenzter Umfang ⟨..⟩ Schritt betrage; es sei rund gedrechselt und drehe sich ebensoschnell als das Schiff läuft. ⟨....⟩ im Stande ist, bei einer ganzen Umdrehung von M einen Zahn von Δ fallen zu lassen. Es ist nun klar, daſs wenn das Schiff 100 Meilen durchlaufen hat, das Zahnrad Λ eine vollständige Umdrehung gemacht haben wird. Wird daher auf dem Deckel des Kastens ein Kreis, der denselben Mittelpunkt mit Λ hat, beschrieben und in 100 Grade geteilt, so wird der Zeiger, der mit Λ fest verbunden ist, dadurch daſs er sich auf dem bezeichneten Kreise dreht, die einzelnen Bewegungen des Schiffes anzeigen.

I.

INDEX NOMINUM.

II.

INDEX VERBORUM.

Praepositiones coniunctionesque praetermisi. Numeri sunt paginarum versiculorumque.

A

B

Δ

Z

H

K

M

N

P

Σ

T

Addendum.

Hodometri descriptionem (*π. διόπτρας* c. 34) Wilamowitzius (*Griech. Lesebuch* p. 262 sq.) ex parte edidit cum figura emendatiore. Idem p. 294, 13 huius editionis *διατοναίῳ* scribendum, 300, 6 *ὡς ἂν* dittographia natum delendum esse perspexit.
